1), ἀπὸ τῆς κοιλάδος τῆς πάλαι πόλεως καὶ πηγῆς Σαλμώνης, Ἀλφειοῦ καὶ τῆς πηγῆς Ἀρεθούσης κατὰ τὸ ἄλσος τῆς Ἀλφειονίας ἢ Ἀλφειούσης Ἀρτέμιδος, ἀπέχον τῆς Ὀλυμπίας περὶ τὰ ὀγδοήκοντα στάδια κατὰ Στράβωνα (343) καλεῖται ἔτι καὶ νῦν Νησίον. Νουσᾶς καλεῖται ποταμὸς ἐν Ψωφῖδι, ῥέων ἐξ ὁμωνύμου χωρίου καὶ ἐμβάλλων εἰς Ἐρύμανθον, καλούμενος ὑπὸ μὲν τοῦ Πολυβίου (4, 70) λάβρος χειμάῤῥους, ὑπὸ δὲ τοῦ Παυσανίου (8, 24, 3) Ἀροάνιος (Λήκ. Μωρ. 2, 241). Τὰ ὀνόματα Νουσᾶς καὶ Νοῦς, ποταμός, συνεμβάλλων εἰς Ἀλφειὸν ἐπὶ τῷ Μυλάοντι τῆς Θεισόας τῶν ἐν Ἀρκαδίᾳ Κυνουραίων (Παυσ. 8, 27, 4. 38, 9), ἔχουσιν ἐγγυτέραν μὲν συγγένειαν πρὸς τὸ νέω καὶ τὰ σύστοιχα αὐτοῦ, ἐν οἷς καὶ τὸ νῆσος, ἀπωτέραν δὲ πρός τε τὸ δεύτερον μέρος τοῦ ὀνόματος Ἀροανίου καὶ τὴν λέξιν ἀνία, σημαίνουσαν ὕδωρ ἢ ποταμὸν ἐν τῇ Πελασγικῇ καὶ παλαιᾷ Αἰολικῇ διαλέκτῳ καὶ συγγενεύουσαν καὶ πρὸς τὸ ὄνομα τῶν ἐν Λατίῳ καὶ Ἤλιδι ποταμῶν Ἀνίανος καὶ Λευκυανία, καὶ πρὸς τὸ τῶν Αἰνιάνων, ἅτε κατοικούντων παρὰ τὰς ὄχθας τοῦ Σπερχειοῦ (Λήκ. Μωρ. 2, 210). Καὶ ἐκ τῆς ταὐτότητος τοῦ Ἀροανίου τῆς Ψωφῖδος τῷ ποταμῷ Νουσᾷ ἀναφαίνεται τὸ ἔτυμον τούτων τῶν λέξεων· μεθ' ὧν φαίνονται συνεχόμεναι καὶ ἄλλαι, οἷον Ἀλίαι, ποταμὸς Λατίου, Ἀλείσιος, βραχίων Ἐνιπέως (Βουρσ. Γεωγρ. 2, 289, 2), Ἄνα ἢ Ἄνας, ποταμὸς Ἱσπανίας, ὁ καὶ Γουαδιάνας, τοῦ γούα Ἀραβιστὶ σημαίνοντος ὕδωρ, Τάναϊς ἢ Τάναι ἢ Τανός, πόλις παρὰ τὸν ὁμώνυμον ποταμὸν (Θησ. Λατ. Γλώσ. ἐν λ.), Tanas, ae ἢ Tanais, ποταμὸς Νουμιδίας (Sall. 6. j. 90), Τάναος, ποταμὸς Ἀργολίδος (Παυσ. 2, 38, 7). Καὶ τὸ ὄνομα χωρίου τινὸς Θάνα περὶ τὴν παλαιὰν κοίτην τοῦ Ἀλφειοῦ, παλαιᾶς χώρας, ἤτοι πόλεως, καλουμένου ὑπὸ τῶν ἐντοπίων (Λήκ. Μωρ. 1, 117), τὸ αὐτὸ ἔτυμον φαίνεται ἔχον, καθόσον καὶ πηγή τις ἐν Καφυάτιδι ἐπί τινος ἐπιμήκους προβολῆς μέχρι Τράγου τοῦ ὄρους Σαϊτᾶ, Σκιάθεως κατὰ Λήκιον ἐκ παραφθορᾶς, καλεῖται ὁμοίως Θάνα.

Οἱ δὲ περιεχόμενοι τόποι κατὰ μέρος ὑφ' ὑδάτων ἠπειρωτι-

κῶν καὶ συνεχόμενοι ἑτέρωθεν μετ' ἠπείρων ἐπωνομάζοντο χερσόνησοι, καθὼς ἡ ἐν Συρίᾳ πόλις 'Απάμεια κατὰ Στράβωνα. Ἴσως οὕτως ἐκαλεῖτο καὶ ὁ τόπος μεταξὺ τῶν ποταμῶν 'Αλφειοῦ καὶ 'Αρπινάτου καὶ τῆς πηγῆς Πίσης, συνεχόμενος μετὰ τῆς γεωλοφίας, καθ' ἣν ἔκειτο ἡ Ἅρπινα· διὰ τούτου τοῦ τόπου ἐφέροντο εἰς 'Ολυμπίαν καὶ τὰ ὕδατα τῆς Πίσης καὶ τῆς πηγῆς τοῦ ποταμοῦ Παρθενίας κατὰ Παυσανίαν ἢ Παρθενίου κατὰ Στράβωνα δι' ὑδραγωγείου Ἡρώδου τοῦ 'Αττικοῦ (Ald. Itin. 132). Εἰκάζω δὲ τοῦτο, διότι τὸ μὲν ἡ θέσις αὕτη καλεῖται νῦν φραγκονῆσι παρὰ τὸ χερσονῆσι ἴσως, κατὰ τὴν παρ' ἰδιώταις παραφθορὰν τῶν λέξεων ἐν ὁμοιότητι ἤχου, τὸ δ' ἐνταῦθα ἀνεσκάφη στήλη ἐνεπίγραφος, μνημονεύουσα ὀνόματος Χερσονησιτῶν, ἐν ἐρειπίοις Ἑλληνικοῦ ναοῦ, ἐξ ὧν μένουσι κατὰ χώραν βάθρα κιόνων καὶ παράκεινται σπόνδυλοι αὐτῶν καὶ κιονόκρανα περὶ τὰ δύο στάδια ἀπὸ τοῦ τάφου τῶν μνηστήρων τῆς Ἱπποδαμείας (Παυσ. 6, 21, 8—9). Ἡ στήλη αὕτη ἐστὶ νῦν ᾠκοδομημένη ἐπὶ τῆς θύρας τῆς οἰκίας Β. Ῥαμιλάτου ἐν χωρίῳ Μιράκᾳ, καὶ ἡ ἐπιγραφὴ ἔχει ἀκριβῶς ὧδε·

Χερσονησεῖται Βλ-
αστῶ ἀνέθηλαν ἰ-
δίω συνδούλω στή-
λλην μνήμης χάριν.

'Εν Σπάρτῃ τῇ 4ῃ Νοεμβρίου 1876.

Π. Α. ΚΟΜΝΗΝΟΣ.

---

## ΔΙΟΡΘΩΣΕΙΣ ΧΩΡΙΩΝ ΤΙΝΩΝ ΤΗΣ ΣΟΦΟΚΛΕΟΥΣ ΑΝΤΙΓΟΝΗΣ.

### § 1.

σ. 93 ἐκδ. Wunder·

εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ,
ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ.

Ὁ Δινδόρφιος σημειοῦται: «'Ανωφελῶς καὶ σχεδὸν ἀνεπιτηδείως προστίθεται ἡ λ. δίκῃ, διότι ὁ λόγος τοσοῦτον γίνεται ἀμφίβολος

ὥστε ἡ Ἰσμήνη φαίνεται δίκαια πράττουσα, ἐὰν ἐχθρικῶς φέρηται πρὸς τὸν ἀποθανόντα ἀδελφόν». Ἡ παρατήρησις αὕτη εἶνε λίαν ὀρθή, ἀλλ' ἡ προτεινομένη διόρθωσις εἶνε ἀπαράδεκτος· διότι ὁ Δ. γράφει οὕτως:

ἐχθρὰ δὲ τῷ θανόντι προστήσει κάσει.

Ἀλλ' ἄπορον ἡμῖν φαίνεται πῶς τὸ βεβλαμμένον τοῦτο χωρίον ὑπ' οὐδενὸς διωρθώθη, τοσοῦτον μάλιστα οὔσης εὐκόλου τῆς διορθώσεως. Ἡμεῖς νομίζομεν ὅτι ἂν τὸ ἐπίθετον «ἐχθρὰ» γραφῇ κατὰ δοτικὴν «ἐχθρᾷ» καὶ συναφθῇ μετὰ τοῦ «δίκῃ», προκύπτει ἔννοια ὀρθοτάτη: «προσκείσει δίκῃ ἐχθρᾷ τῷ θανόντι» τ. ἔ. θέλεις τηρήσῃ δικαιοσύνην ἐχθρὰν πρὸς τὸν θανόντα, ἤτοι σεβομένη τὸν θετὸν νόμον τοῦ Κρέοντος, θὰ παραβῇς τοὺς ἀγράφους νόμους περὶ τῶν πρὸς τὸν θανόντα χρεῶν.

Περὶ τῆς μεταφορικῆς δὲ χρήσεως τοῦ ῥήματος «πρόσκειμαι» πρβ. Ἠλέκ. 240 «εἴ τῳ πρόσκειμαι χρηστῷ». 1040 «ᾧ σὺ πρόσκεισαι κακῷ». Οἰδ. Τ. 227 «ἡ χάρις (τῷ εἰπόντι) προσκείσεται» πρβ. καὶ Ἀντ. 1222 «ἀβουλία μέγιστον ἀνδρὶ πρόσκειται κακόν».

§ 2.

σ. 128 κέ.

καί σφας ἐσιδὼν  
πολλῷ ῥεύματι προσνισσομένους  
χρυσοῦ καναχῇ θ' ὑπερόπτας  
παλτῷ ῥιπτεῖ πυρὶ  
ὁρμῶντα

Τὸ χωρίον εἶνε τῶν δυσχερεστάτων καὶ πᾶσα ἡ δυσχέρεια κεῖται ἐν τῷ ζητήματι: ποῦ ἀναφέρεται ἡ μετοχὴ «ὁρμῶντα». Ἀδύνατον νὰ ὑπονοῆται ἡ ἀόριστος ἀντωνυμία τὶς ἐν τῷ προκειμένῳ χωρίῳ, ὅπως φρονοῦσι τινές· διὰ τοῦτο ὁ νεώτατος ἐκδότης Γ. Οὐόλφιος μετέβαλε τὸ «ὑπερόπτας» εἰς «ὑπερόπτην», ἵνα δι' αὐτοῦ ἐννοῆται ὁ Καπανεύς.

Καὶ ὅτι μὲν τὸ χωρίον δεῖται διορθώσεως, εἶνε προδηλότατον· ὅτι δ' ὅμως ἡ ἐπινοηθεῖσα διόρθωσις ἀναιρεῖ πᾶσαν δυσχέρειαν, ἐξέ-

οτω ἡμῖν ν' ἀμφιβάλλωμεν. Τὸ χωρίον καθ' ἡμᾶς ἄριστα ἔχει ὡς ἑξῆς:

καί σφας ἐσιδὼν
πολλῷ ῥεύματι προσνισσομένους
χρυσοῦ, Καπανεῖ θ' ὑπερόπτας,
παλτῷ ῥιπτεῖ πυρὶ κτέ.

Ἡ δοτικὴ «Καπανεῖ» εἶνε τῆς αἰτίας (Krüg. § 48, 15, σ. 6)· ἐκ τῆς δοτ. δὲ ὑπονοεῖται ὡς ἀντικείμενον τοῦ «ῥιπτεῖ» ἡ ἀντωνυμία: αὐτὸν, πρὸς ἣν συμφωνεῖ ἡ μετοχὴ «ὁρμῶντα».

Παραδείγματα δὲ ὅμοια οὐκ ὀλίγα ὑπάρχουσι.

§ 3.

σ. 241.

εὖ γε στοχάζει, κἀποφάργνυσαι κύκλῳ
τὸ πρᾶγμα.

Τὸ ῥῆμα «στοχάζομαι» οὐδαμῶς ἁρμόζει ἐν τῷ προκειμένῳ· ὅθεν ὁ μὲν Ἰακώψιος ἔγραψε «στεγάζει», ὁ Βέργκιος «τὶ φροιμιάζει», ἄλλοι «στοχίζει» ἢ «σκεπάζει».

Ἡμεῖς νομίζομεν ὅτι γραπτέον

εὖ γε, σκόφ', ἅζει κἀποφάργνυσαι κτέ.

=εὖ γε, σκοπέ, ἅζει. Ἡ δὲ σύνδεσις εἶνε παρατακτική:=ἁζόμενος, σκοπέ, εὖ γε ἀποφάργνυσαι τὸ πρᾶγμα. Πρβ. Οἰδ. Τ. 78: «ἀλλ' ἐς καλὸν σύ τ' εἶπας, οἵδε τε προστείχοντα σημαίνουσιν» =ἀλλὰ σοῦ εἰπόντος οἵδε σημαίνουσιν ἐς καλὸν προστείχοντα. Ὅθεν ἡ ἔννοια εἶνε ἡ ἑξῆς: καλῶς, ὦ φύλαξ, ἢ ἄγγελε, ὑπ' εὐλαβείας (εὐλαβούμενος) ἀποκρούεις τὴν πρᾶξιν.

Τῷ δὲ ῥήματι «ἅζομαι» ἐχρήσατο ὁ ποιητὴς καὶ ἐν Οἰδ. Τ. 155 «ἀμφὶ σοὶ ἁζόμενος».

§ 4.

σ. 280.

παῦσαι πρὶν ὀργῆς κἀμὲ μεστῶσαι λέγων.

Οὐδεμίαν ἔχει δύναμιν ὁ σύνδεσμος καί. Ὁ Οὐόλφιος ἔγραψε

«κατά με μεστῶσαι»· ἀλλ' οὐδὲν ἐκώλυε τὸν ποιητὴν ἵνα καὶ ἄνευ τμήσεως εἴπῃ:

πρὶν ὀργῆς με καταμεστῶσαι

Ἡ παρένθεσις ἄρα τῆς ἀντωνυμίας «με» δηλοῖ ὅτι δὲν προηγεῖται ἡ κατά. Νομίζομεν ὅτι ἐὰν γραφῇ «ἔκ με μεστῶσαι»=ἐκμεστῶσαί με, τὸ χωρίον ἔχει ὑγιῶς. Πρβ. τὰ ἔκπλεως, ἐκπληρῶ. Περὶ δὲ τῆς τμήσεως τῆς ἐκ ὅρα Τραχ. 1055 «ἐκ μὲν βέβρωκε σάρκας, ἐκ δ' αἷμά μου πέπωκεν».

§ 5.

σ. 642.

Μή νυν ποτ', ὦ παῖ, τὰς φρένας γ' ὑφ' ἡδονῆς
γυναικὸς οὕνεκ' ἐκβάλῃς.

Τὰ χειρόγραφα ἔχουσιν: ὑφ' ἡδονῆς ἄνευ τοῦ γ', ὅπερ προσέθηκεν ὁ Βρούγκιος. Ἐπειδὴ δ' ὅμως «τὰς φρένας ὑφ' ἡδονῆς» ἔχει πλημμελῶς κατὰ τὸ μέτρον, πλεῖσται διορθώσεις τοῦ χωρίου ἐγένοντο.

Ἡμεῖς φρονοῦμεν ὅτι πρέπει νὰ γραφῇ:

τὰς φρένας σὺ 'φ' ἡδονῆς

ὅ ἐ. τὰς φρένας σὺ ἐφ' ἡδονῆς. Κατὰ τὴν γραφὴν ταύτην ἐξάγεται ἡ ἑξῆς ἔννοια: μὴ ἕνεκα γυναικὸς ἀποβάλῃς τὴν φρόνησιν πρὸς ἡδονὴν (=ἵνα ἡδονὴν ἔχῃς).

Ὅτι ἡ πρόθεσις «ἐπὶ» μετὰ γενικῆς σημαίνει τὴν εἴς τι τέλος διεύθυνσιν, ὡς προσδιορισμὸς τῶν κινήσεως σημαντικῶν ῥημάτων, ὑπάρχει γνωστὸν (Krüg. § 68, 40 σ. 3. Ἀσωπίου Ἑλλ. Συντ. Π. Β. σ. 617 § 126). Κατὰ τὴν σημασίαν ταύτην λαμβάνεται ἡ «ἐπὶ» μετὰ γενικῆς καὶ μεταφορικώτερον, ὡς ἐνταῦθα. Ὅμοιον παράδειγμα εὑρίσκεται ἐν τῷ Πρωταγόρᾳ τοῦ Πλάτωνος 358 Β: «αἱ ἐπὶ τούτου πράξεις ἅπασαι, ἐπὶ τοῦ ἀλύπως ζῆν καὶ ἡδέως, ἆρ' οὐ καλαί;», ὅπερ ἄριστα ὁ Εἰνδόρφιος ἡρμήνευσεν actiones huc ducentes sive tendentes.

Ἐν Ἀθήναις, τῇ 18 Μαρτίου 1877.

Σ. Δ. ΒΑΛΒΗΣ.

# ΚΡΙΤΙΚΑ ΚΑΙ ΓΡΑΜΜΑΤΙΚΑ.

## ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

### § 1. *τὸν ἄγνον — τὸ ἀγνόν.*

Εἰς τὸ *Δελτίον τῆς Ἑλληνικῆς Ἀλληλογραφίας (Bulletin de Correspondance Hellénique)*, περιοδικὸν σύγγραμμα ἐκδιδόμενον ὑπὸ τῆς παρ' ἡμῖν Γαλλικῆς Σχολῆς, ἥτις δεξιωτάτου τυχοῦσα προστάτου, τοῦ *A. Dumont*, καθ' ὑπερβολὴν τὰ νῦν εὐημερεῖ, κατεχωρίσθη ὑπὸ τοῦ Σάθα ἀπόσπασμα ἐκ τῶν τοῦ Ψελλοῦ (σελ. 127—133) γέμον παντοίων σφαλμάτων, ὧν τινὰ μὲν καὶ τοῖς ἰδιώταις εἶνε φανερά, οἷον «Οὗτος ὁ Πυθαγόρας οὐ *πάντων* ἀποδεικνύειν εἴωθε» (σελ. 128, 16), κτλ., τινὰ δὲ μόνους τοὺς ἐκ περιζώματος ἀκούοντας τὴν Ἑλληνικὴν φιλολογίαν δύνανται νὰ λανθάνωσιν, οἷον «Τὰς δὲ φύσεις, οἶμαι, τῶν γιγνομένων μὴ μάλα εἰδότες, σκίλλαν τιμῶσι καὶ κρόμμυα ὅτι αὐτομάτως βλαςάνουσι, καὶ *τὸ ἀγνὸν* ὅτι ὑποςρωννύμενον εἰς ἁγνείαν πιςεύεται» (σελ. 130, 15). Ἐν τῷ ἀντιγράφῳ κεῖται *ὑποστρωννύμενος*, ὅπερ ὁ ἐκδότης, ἵνα συμφωνῇ πρὸς τὸ οὐδέτερον *τὸ ἀγνόν*, εἰς ὃ ἀναφέρεται, μετετύπωσεν ἄνευ τινὸς ὄκνου εἰς τὸ *ὑποστρωννύμενον*. Γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ἐποίησεν. Ἡ κατ' ἀρσενικὸν γένος προενηνεγμένη μετοχὴ ἔχει ὀρθότατα, ἐπάναγκες δ' εἶνε ἀντὶ τοῦ ἀδιανοήτου *τὸ ἀγνὸν* ν' ἀναγνωσθῇ *τὸν ἄγνον*, τουτέστι *τὴν λύγον*· «σκίλλαν τιμῶσι καὶ κρόμμυα ὅτι αὐτομάτως βλαστάνουσι καὶ *τὸν ἄγνον* ὅτι ὑποστρωννύμενος εἰς ἁγνείαν πιστεύεται».

Οὐδενὶ δ' ἀσχοληθέντι ὁπωσδήποτε περὶ τὰ παλαιὰ πράγματα ἄγνωστος ὑπάρχει ἡ δόξα καθ' ἣν ὁ ἄγνος ὑποστρωννύμενος συνετέλει εἰς ἁγνείαν ἤτοι ἐκώλυε τὴν ἀφροδίσιον ὁρμήν.

Αἰλιαν. π. Ζῴ. Θ', 26 «Ἐλαύνει δὲ ἰσχυρῶς τοὺς ὄφεις ἡ ἔνδροσός τε καὶ νοτερὰ καλαμίνθη, φασί, καὶ ὁ ἄγνος. Τοῦτόν τοι καὶ ἐν Θεσμοφορίοις ἐν ταῖς στιβάσι τὰ γύναια τὰ Ἀττικὰ ὑποστόρνυται. Καὶ δοκεῖ μὲν καὶ ἐχθρὸς εἶναι τοῖς δακέτοις ὁ ἄγνος,

ἤδη δὲ καὶ ὁρμῆς ἀφροδισίου κώλυμά ἐστι, καὶ ἔοικε τό γε ὄνομα λαβεῖν ἐντεῦθεν».

Διοσκορίδ. Τόμ. Α', σελ. 130 «Ὠνόμασται δὲ ἄγνος διὰ τὸ τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας γυναῖκας εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ».

Γαλην. Τόμ. ΙΑ', σελ. 808 «Ἐπέχει δὲ καὶ τὰς πρὸς ἀφροδίσια ὁρμὰς ὅ τε πεφρυγμένος καὶ ὁ ἄφρυκτος καρπός· καὶ τὰ φύλλα καὶ τὰ ἄνθη τοῦ θάμνου (τοῦ ἄγνου) ταὐτὸ τοῦτο δύναται δρᾶν, ὥστε οὐ μόνον ἐσθιόμενα καὶ πινόμενα πρὸς ἁγνείαν πεπίστευται συντελεῖν ἀλλὰ καὶ ὑποστρωννύμενα. Ταῦτ' ἄρα καὶ τοῖς Θεσμοφορίοις αἱ γυναῖκες Ἀθήνησιν ὑποστρωννύουσιν ἑαυταῖς ὅλον τὸν θάμνον, ἐντεῦθεν δὲ καὶ τοὔνομα αὐτῷ». Πρβ. καὶ Τόμ. ϛ', σελ. 550 «Περὶ ἄγνου σπέρματος. Καὶ καθ' αὑτὸ τοῦτο φρυγόμενον ἐσθίεται πεπιϛευμένον ἐπέχειν τὰς ἐπ' ἀφροδισίοις ὁρμὰς γινομένας, τροφὴν δ' ὀλίγην δίδωσι τῷ σώματι· ταύτην ξηραίνουσαν καὶ ψύχουσαν, ἄφυσον δ' ἱκανῶς. Κατὰ πάντ' οὖν ταῦτα τοῖς ἁγνεύειν ἀφροδισίων βουλομένοις ἐπιτήδειόν ἐστι· διὸ καὶ τοὔνομα τῷ φυτῷ τεθεῖσθαι τοῦτό φασιν». Γραπτέον «τροφὴν δ' ὀλίγην δίδωσι τῷ σώματι *καὶ* ταύτην ξηραίνουσαν κτέ.», ὡς ἀναγινώσκεται παρ' Ὀρειβασίῳ Τόμ. Α', σελ. 44, 1.

Ἐτυμολ. Μέγ. σελ. 11, 55 «Ἄγνος: Τὸ φυτὸν παρὰ τὸ τοὺς ἐσθίοντας ἀγόνους τηρεῖν, ἄγονόν τι ὄν, ἢ παρὰ τὸ εἰς ἁγνείαν συντελεῖν ἐσθιόμενον καὶ πινόμενον, ἔτι δὲ καὶ ὑποστρωννύμενον· ὃ καὶ λύγον καλοῦσι· τὸ τῆς σωφροσύνης δηλωτικὸν καὶ ἡδονῆς σβεστικόν· φασὶ γὰρ αὐτὸ ἐσθιόμενον σβεννύναι τὴν φλόγα τῶν ἡδονῶν. Ἁγνὸς δὲ λέγεται ὁ καθαρὸς ὀξυτόνως». Πρβ. καὶ Ἐτυμολ. Γουδ. σελ. 5,40 «Ἄγνος: Τὸ φυτὸν παρὰ τὸ εἰς ἄγνοιαν (Γρ. *ἁγνείαν*) συντελεῖν ἐσθιόμενον καὶ πινόμενον, ἔτι δὲ καὶ ὑποστρωννύμενον».

Σχολ. Νικάνδρ. Θηρ. 71 «Τὸ δὲ ἄγνου βρύα λευκά πρὸς ἀντιδιαστολὴν τέθεικεν, ἐπεὶ ἔστι καὶ μέλας ἄγνος. Πολυανθὴς δέ ἐστιν ὁ λύγος τοῦ ἄγνου, ὃν ἐν τοῖς Θεσμοφορίοις ὑπεστρώννυντο αἱ γυναῖκες· ἀντιπράττει γὰρ πρὸς συνουσίαν· διὸ καὶ ἄγνος λέγεται ἄγονός τις ὤν».

Πλίνιος XXIV, 38 «Alii agnon (vocant), quoniam matronae Thesmophoriis Atheniensium castitatem custodientes his foliis cubitus sibi sternunt».

Ἄξια παραθέσεως εἶνε καὶ τὰ ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς γεγραμμένα σελ. 834,34 «Οἱ δ' αὐτοὶ καὶ λύγον φασὶν οὐχ ἁπλῶς τὸν τοῦ τυχόντος δένδρου ἁπαλὸν κλάδον ἀλλὰ φυτὸν ἱμαντῶδες (*) καὶ ἁπαλόν, ὃ καὶ οἶσον καλοῦσιν, ἐξ οὗ καὶ οἰσόκαρπον τὸ κατά τινας ἀγνόκοκκον, ἐπεὶ ὁ λύγος καὶ ἄγνος καλεῖται, οἱονεὶ ἄγονος· ὁ γὰρ αὐτοῦ καρπός, φασίν, ἐσθιόμενος ἀφανιστικός ἐστι τῆς γονῆς· διὸ καὶ οἱ ἱερεῖς κόμας τοῦ φυτοῦ τούτου ὑπετίθεντο τῇ στρωμνῇ ὡς φυσικήν τινα δύναμιν εἰς τὸ ἁγνεύειν ἐχούσας» καὶ σελ. 1639, 1 «Λύγος δέ, ὡς ἐρρέθη, ὁ ἄγνος φυτὸν ψυχρὸν καὶ ἐκ τῆς ἀγονίας ἄγνος λεγόμενον κατὰ συγκοπήν· διὸ καὶ οἱ ἁγνεύειν ἐν τοῖς Θεσμοφορίοις ἐθέλοντες ὑπεστρώννυον ἑαυτοῖς τῶν τοῦ ἄγνου κλάδων, ἵνα μένοιεν ἄφυσοι». Πρβ. καὶ Σχολ. Ἰλιάδ. σελ. 305, 21 Βεκκ. καὶ Ἐτυμ. Μέγ. σελ. 591, 44.

Ὁ ἄγνος ὠνομάζετο καὶ *λύγος*, ἰδιωτικῶς δὲ κατὰ μὲν τοὺς χρόνους τοῦ Εὐσταθίου ἐκαλεῖτο *λυγέα*, ἐν δὲ τοῖς καθ' ἡμᾶς *λυγαριά*. Ἐσήμαινε δ' ἡ λέξις λύγος τὸ πρῶτον πάντα ἁπαλὸν καὶ εὔκαμπτον κλάδον, κατ' ἐξοχὴν δὲ τὸν τοῦ ἄγνου κλάδον ὡς μάλιστα τοιοῦτον ὄντα. Ἐν τοῖς Μετεωρολογικοῖς τοῦ Ἀριστοτέλους (Δ', θ', 6) γινομένου λόγου περὶ *καμπτῶν καὶ εὐθυντῶν* σωμάτων μνημονεύεται ὁ κάλαμος καὶ ἡ λύγος. Ἐκ τοῦ *λύγος* ἐσχηματίσθη τὸ *λυγίζω*, τουτέστι κάμπτω. Εὐστάθ. σελ. 834, 39 «Ἐκ δὲ τοῦ τοιούτου λύγου καὶ τὸ λυγίζειν καὶ οἱ κωμῳδούμενοι ἐν φαύλαις ὀρχήσεσι λυγισμοί. Λέγεται δὲ λυγέα ἰδιωτικῶς, ἧς οἱ ἁπαλοὶ ἀκρέμονες καὶ μᾶλλον αἱ παραφυάδες καὶ εἰς πλέγμα συστρέφονται καὶ δεσμοὺς κατά τινας σχοίνους τε καὶ ἱμάντας» (Πρβ. καὶ σελ. 1638, 13). Σχολ. Πλάτ.

---

(*) Ἐν Ἀμφίσσῃ αἱ εὔκαμπτοι ῥάβδοι θάμνου ἢ δένδρου καλοῦνται λ ο ῦ ρ ε ς (=λοῦραι) διὰ τὴν ὁμοιότητα αὐτῶν πρὸς τοὺς λώρους (τ ὰ λ ο υ ρ ι ὰ) ἤτοι ἱμάντας.

Πολιτ. σελ. 405, γ' «Λυγιζόμενος : στρεφόμενος, καμπτόμενος, ἀπὸ τῶν λύγων· λύγος δέ ἐστι φυτὸν ἱμαντῶδες. Τινὲς δὲ καὶ τὸ μετὰ τιμωρίας βασανίζειν λυγίζειν φασί· καὶ αἱ μάστιγες αἷς οἱ ἀθληταὶ τύπτονται λύγοι καλοῦνται». Σχολ. Θεοκρ. Α', 97 «Λυγίζω λυγίσω καὶ Δωρικῶς λυγιξῶ ἀπὸ τοῦ λύγος τὸ βεργίον καὶ ὁ δεσμός», κτλ.

Ἵνα σαφῶς παραστήσωμεν τὴν ἀδιαφόρως πολλάκις γινομένην χρῆσιν τῶν λέξεων *ἄγνος* καὶ *λύγος*, καταλέγομεν μαρτύρια ἐκ συγγραφέων καὶ γραμματικῶν.

Διοσκορίδ. Τόμ. Α', σελ. 129 «Ἄγνος ἢ λύγος. Θάμνος ἐστὶ δενδρώδης παρὰ ποταμοῖς καὶ πεδίοις ἐνύδροις τραχέσι τε τόποις καὶ χαράδραις φυόμενος — Ὠνόμασται δὲ ἄγνος διὰ τὸ τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας γυναῖκας εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ, λύγος δὲ διὰ τὸ περὶ τὰς ῥάβδους αὐτῆς εὔτονον ἢ διὰ τὸ πινομένην (τὰς) ἐπὶ συνουσίᾳ ὁρμὰς ἐκλύειν» (Πρβ. καὶ Τόμ. Β', σελ. 405. Ἔτι δὲ Παῦλ. Αἰγινήτ. Ζ', 3).

Γαλην. Τόμ. ΙΑ', σελ. 807 «Ἄγνος δὲ ἢ λύγος, τὸ θαμνῶδες φυτόν, θερμὸς μέν ἐστι καὶ ξηραντικὸς—Αὐτὰς μὲν δὴ τὰς λύγους ἀχρήστους ἔχει πρὸς ἰατρείαν, τὰ δὲ φύλλα καὶ τὸ σπέρμα ξηρὰ καὶ θερμὰ τὴν δύναμίν ἐστι καὶ κατὰ τὴν οὐσίαν λεπτομερῆ». Ἐν τῷ χωρίῳ τούτῳ πρῶτον μὲν παραλαμβάνεται τὸ *λύγος* ὡς ἰσοδύναμον τῷ *ἄγνος*, ἔπειτα δὲ γίνεται χρῆσις τοῦ πληθυντικοῦ *τὰς λύγους* πρὸς δήλωσιν τῶν ῥάβδων τοῦ ἄγνου γυμνῶν τῶν φύλλων οὐσῶν. Πρβ. καὶ Σχολ. Νικάνδρ. Θηρ. 71 «πολυανθὴς δέ ἐστιν ὁ λύγος τοῦ ἄγνου» καὶ Στράβ. σελ. 194 «συμπλέκοντες τὰς τῶν θάμνων λύγους βατώδεις οὔσας ἀπέφραττον τὰς παρόδους», κτλ. Ἐν τῷ περὶ Φυτῶν τοῦ Ψευδαριστοτέλους λέγεται «Εἰσὶ δὲ καὶ τὰ μέρη ἅπερ ὠνομάσαμεν ἐν πᾶσι τοῖς δένδροις — ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροὶ καὶ οἱ κλάδοι» καὶ μετ' ὀλίγα «Καὶ λύγοι δέ τινες βραχεῖς εἰσιν εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς ἐπὶ τῶν ἰτεῶν, κτέ.» (Α', 11).

Γεωπον. Β', δ', 1 «Ἔνθα πεφύκασι λύγοι αἱ ὑπό τινων λεγόμεναι ἄγνοι». Ἴδε Νικλάσιον *Γεωπον.* σελ. 74 κέξ. καὶ Σνειδῆρον *Histor. Plant.* Τόμ. Γ', σελ. 91 κέξ.

Τίμ. Σοφ. Λεξ. Πλάτ. σελ. 11 «Ἄγνος : φυτόν, ὃν καὶ λύγον». Σχολ. Πλάτ. Φαίδρ. σελ. 230, β' «Ἄγνος : φυτόν τι θαμνῶδες, ἥ ἐστιν ἡ λύγος». Βεκκ. Ἀνέκδ. σελ. 324, 15 «Ἄγνον : λύγον». Ζωναρ. σελ. 16 «Ἄγνος : φυτόν, ὃν ἔνιοι καὶ λύγον καλοῦσι· παρὰ τὸ τοὺς ἐσθίοντας ἀγόνους τηρεῖν». Ἐρωτιαν. σελ. 57, 7 «Ἄγνου : λύγου. Ἔστι δὲ ὄνομα φυτοῦ, ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς λέγων·

ἄγνου τε βρύα λευκὰ καὶ ἐμπρίοντ' ὀνόγυρον».

Ἡσύχ. «Λύγος : ῥάβδος ἀπαλή, ἄγνος ἢ δενδρύφιον θαμνῶδες, ἱμαντῶδες φυτόν».

Εὐστάθ. σελ. 1638, 10 «Λύγος δέ, ὡς καὶ ἐν Ἰλιάδι, φυτὸν εὔστροφον καὶ ὡς ἀπ' αὐτοῦ ἐκείνου εἰπεῖν εὐλύγιστον, ὃ δὴ καὶ ἄγνος λέγεται παρ' Ἀττικοῖς. Φησὶ γοῦν Αἴλιος Διονύσιος· ἄγνον ἀρσενικῶς, οὐ λύγον καλοῦσιν Ἀττικοί. Φέρει δὲ καὶ χρῆσιν Πλάτωνος ταύτην· ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ καὶ τοῦ ἄγνου τό τε ὕψος καὶ τὸ σύσκιον πάγκαλον». Πρβ. καὶ Σουίδ. «Ἄγνος : φυτόν, ὃν καὶ λύγον καλοῦσιν—Ἄγνον, οὐχὶ λύγον καλοῦσιν καὶ ἀρσενικῶς. Χιωνίδης Ἥρωσι·

καὶ μὴν μὰ τὸν Δί' οὐδὲν ἔτι γέ μοι δοκῶ
ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος.

Πλάτων· ἥ τε γὰρ πλάτανος αὕτη μάλα ἀμφιλαφὴς καὶ ὑψηλὴ καὶ τοῦ ἄγνου δὲ τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον». Τὰ παρὰ τῷ Σουίδᾳ *Ἄγνον, οὐχὶ λύγον καλοῦσιν κτέ.* ἐλήφθησαν πάντως ἐκ τῆς *Λέξεων Συναγωγῆς* τοῦ Φωτίου μεταγράψαντος αὐτὰ ἐκ τῶν Αἰλίου Διονυσίου *Ἀττικῶν Ὀνομάτων*. Τὸ χωρίον τοῦ Πλάτωνος κεῖται ἐν τῷ Φαίδρῳ σελ. 280, β'. Πρβ. καὶ Πλούτ. Ἠθικ. σελ. 749, ά «καὶ ὅσα ἄλλα τοιούτων τόπων ἐπιλαβόμενοι γλίχονται τὸν Πλάτωνος Ἰλισὸν καὶ τὸν ἄγνον ἐκεῖνον καὶ τὴν ἠρέμα προσάντη πόαν πεφυκυῖαν προθυμότερον ἢ κάλλιον ἐπιγράφεσθαι».

Περὶ τοῦ ἐκ λύγου στεφάνου, τοῦ καὶ *λυγίνου* καλουμένου, ποιεῖται μακρὸν λόγον ὁ Ἀθήναιος ἐν Βιβλ. ΙΕ', σελ. 671 κἑξ. Ἐν τοῖς Λακωνικοῖς τοῦ Παυσανίου ΙΔ', 7 ἀναγινώσκεται «Τὸ

δὲ τοῦ Ἀγνίτα πεποίηται μὲν ἐν δεξιᾷ τοῦ Δρόμου, Ἀσκληπιοῦ δέ ἐστιν ἐπίκλησις ὁ Ἀγνίτας, ὅτι ἦν ἄγνου τῷ θεῷ ξόανον· ἡ δὲ ἄγνος λύγος καὶ αὐτὴ κατὰ ταὐτά ἐστι τῇ ῥάμνῳ». Πρβ. Ἐτυμ. Μέγ. σελ. 702, 1 «Ῥάμνος: ὃ καὶ ἄγνον φασὶ διὰ τὸ συγγενές» καὶ Μεθόδ. παρὰ Φωτίῳ Βιβλ. 312, 15 «Ἡ δὲ ῥάμνος τὴν ἁγνείαν συνίστησι· τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἄγνος ἐστί· καὶ τάχα διὰ τὸ συγγενὲς τὸ φυτὸν τοῦτο τῇ παρθενίᾳ ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη, ῥάμνος μὲν παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς, ἄγνος δὲ παρὰ τὸ διὰ παντὸς ἁγνεύειν». Παρ' Ἡσυχίῳ φέρεται καὶ «*Πρόμαλος: μυρίκη ἢ ἄγνος*». Πρβ. Ἀθήν. σελ. 673, γ', κτλ.

Ἐκ τοῦ φυτοῦ ἄγνου ἔλαβε τὸ ὄνομα καὶ ὁ δῆμος τῆς Ἀττικῆς *Ἀγνοῦς*. Στέφ. Βυζάντ. σελ. 19 Μειν. «Ἀγνοῦς: δῆμος ἐν τῇ Ἀττικῇ — Ἐκλήθη δὲ ἀπὸ τῆς ἐν αὐτῷ φυομένης ἄγνου» (Ἴδε Λόγ. Ἑρμῆν Τόμ. Ε', σελ. 158 κἑξ.). Ἀλλά τινες διατείνονται ὅτι ὀρθότερον ἔχει ἡ γραφὴ *Ἁγνοῦς* — *Ἁγνούσιος*. Πρβ. Ἐπιγρ. παρὰ Βοικκίῳ 138, 34 «Τελέστης Θεόγνιδος ΗΑΓΝΟΣΙΟΣ», κτλ. (*).

Περὶ τοῦ γένους τοῦ ὀνόματος *ἄγνος* γίνεται λόγος καὶ ἐν τοῖς εἰς Ὀδύσσειαν Σχολίοις Ι, 427 «Λύγος ἐστὶν ἱμαντῶδες φυτόν, ὁ δὲ ἄγνος λέγεται παρ' Ἀττικοῖς ἀρσενικῶς».

Παρὰ Θεοφράστῳ ὁ Σνειδῆρος ἐξέδωκε Τόμ. Α', σελ. 90 «τοὺς δὲ ὄζους ὁμοίους ἔχουσιν ἄμφω *τῇ* ἄγνῳ». σελ. 98 «τὰς ῥίζας δὲ ὁμοίας ἔχειν *ταῖς* ἄγνοις». σελ. 152 «θαμνῶδες καὶ παρόμοιον *τοῖς* ἄγνοις». Ἀλλὰ καὶ ἐν τῷ δευτέρῳ χωρίῳ φέρουσιν οἱ κώδικες *τοῖς ἄγνοις* (Ἴδε Τόμ. Ε', σελ. 296). Πρβ. καὶ σελ. 152 «*ὁ* δὲ ἐλείαγνος καὶ *ἡ* σίδη» καὶ «ἔστι δὲ *ὁ* μὲν ἐλείαγνος» καὶ «*ὁ* μὲν οὖν ἐλείαγνος» (Ἴδε Τόμ. Γ', σελ. 353 καὶ σελ. 354). Παρατηρητέον δ' ὅτι γράφεται καὶ *ἐλαίαγνος*. Παρ' Ἡσυχίῳ κεῖται «*Ἐλέαγνος*: φυτὸν θαμνῶδες».

Ἐν τοῖς Ἱπποκρατείοις ἀπαντᾷ οὐ μόνον «μάλιστα δὲ τούτων

(*) Ἴδε Σχοιμαννὸν Ἰ σ α ί. σελ. 453 καὶ Βοιμέλιον Δ η μ ο σ θ. κ α τ' Α ἰ σ χ ί ν. σελ. XIV.

ἕψειν *τὸν* ἄγνον καὶ τὴν συκῆν» (Τόμ. Γ', σελ. 252) ἀλλὰ καὶ «ἄγνου *λευκῆς νέης* ὅσον ὀξύβαφον ἐν οἴνῳ λευκῷ εὐώδεϊ δὸς πιεῖν τρίψας λεῖον» (Τόμ. Β', σελ. 622), κτλ. Πρβ. καὶ Ἀλκίφρ. Ἐπιστ. Α', 39, 7 «ἐπεκωμάσαμεν Δεξιμάχῳ κατὰ τὸν χρυσοῦν στενωπόν, ὡς ἐπὶ *τὴν* ἄγνον κατῆμεν» καὶ Γ', 8, 1 «ἧκε περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐπὶ τὸν χρυσοῦν στενωπὸν τὸν ἐπὶ *τὸν* ἄγνον» (Ἴδε Σειλῆρον *Ἀλκίφρ.* σελ. 319).

Πολλὰ τοῦ ἀρσενικοῦ γένους παραδείγματα παρέχει ἡμῖν ὁ Γαληνὸς λέγων Τόμ. ς', σελ. 446 «ἐσθίειν τὸ σπέρμα τοῦ ἄγνου» σελ. 449 «ἔοικέ πως τῷ ἄγνῳ». Τόμ. ΙΑ', σελ. 809 «τὸ γὰρ τοῦ ἄγνου σπέρμα» καὶ «τὸ τοῦ ἄγνου σπέρμα». σελ. 810 «θερμὸς μὲν καὶ ξηρὸς ὁ ἄγνος τὴν δύναμίν ἐστι» (Πρβ. καὶ σελ. 807 καὶ 808). Τόμ. ΙΒ', σελ. 818 «ἄγνου λευκοῦ ὀβολοὺς τρεῖς» καὶ «ἄγνου λευκοῦ τοῦ καρποῦ». Τόμ. ΙΓ', σελ. 318 «καὶ τὸ τοῦ ἄγνου σπέρμα» (Πρβ. καὶ Τόμ. ΙΔ', σελ. 448). Κεῖται δὲ καὶ παρ' Αἰλιανῷ π. Ζῴ. Θ', 26 «ἡ ἔνδροσός τε καὶ νοτερὰ καλαμίνθη, φασί, καὶ *ὁ* ἄγνος» καὶ «δοκεῖ μὲν καὶ ἐχθρὸς εἶναι τοῖς δακέτοις *ὁ* ἄγνος» καὶ παρὰ Φιλοστράτῳ σελ. 97 «τὸ δένδρον ἡ πεπερὶς εἴκασται μὲν *τῷ* παρ' Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ, φύεται δὲ κτέ.». Πρβ. καὶ Σχολ. Νικάνδρ. Θηρ. 71 «ἐπεὶ ἔστι καὶ *μέλας* ἄγνος» καὶ «πολυανθὴς δέ ἐστιν ὁ λύγος *τοῦ* ἄγνου», κτλ.

Ἐν τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 641, δ' ἀναγινώσκεται «ὅμοιον ὡς εἴ τις οἴοιτο τῇ ἀνθήσει *τοῦ ἄγνου* πεπαίνεσθαι τὸν τῆς ἀμπέλου καρπόν, ὅτι δὴ τοῦτο τὸ λεγόμενον

ἡ ἄ γ ν ο ς ἀνθεῖ χὠ βότρυς πεπαίνεται».

Πρβ. καὶ Ἐτυμ. Μέγ. σελ. 595, 34 «Μύρσος·

μύρσον ἐς ὠτώεντα π α λ α ι φ α μ έ ν η ς τ' ἄγνοιο.

Μύρσος πλεκτόν ἐστιν ἀγγεῖον ἐξ ἄγνου πλεκόμενον λύγων» (Ἴδε Μεινέκιον *Ἀποσπ. Κωμ.* Τόμ. Β', σελ. 6 καὶ Ὀθ. Σνειδῆρον *Καλλιμ.* Τόμ. Β', σελ. 726).

Θηλυκῶς εἶνε προενηνεγμένον τὸ περὶ οὗ ὁ λόγος ὄνομα καὶ ὑπὸ τοῦ Παυσανίου Γ', ιδ', 7 «ἡ δὲ ἄγνος λύγος κτέ.» καὶ ὑπὸ

Στεφάνου τοῦ Βυζαντίου σελ. 19, 3 «Ἐκλήθη δὲ ἀπὸ τῆς ἐν αὐτῷ φυομένης ἄγνου» καὶ ὑπ' ἄλλων. Πρβ. καὶ Διοσκορίδ. Τόμ. Α', σελ. 130 «Ὠνόμασται δὲ ἄγνος διὰ τὸ τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας γυναῖκας εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ».

Περὶ τοῦ ὀνόματος *λύγος* παρατηροῦμεν ὅτι θηλυκὸν παρὰ τοῖς παλαιοῖς ἀείποτ' ὂν ἐκφέρεται ἐνίοτε παρὰ τοῖς μεταγενεστέροις καὶ ἀρσενικῶς, οἷον Ψευδαριστοτέλ. π. Φυτ. Α', 11 «ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροί» καὶ «λύγοι δέ τινες βραχεῖς εἰσιν». Λόγγ. Ποιμεν. Γ', 27 «ἧς τὸν λύγον αἱ σαί ποτε αἶγες κατέφαγον» (*). Ζωναρ. Ἐπιτ. Ἱστορ. Δ', 6 «ὁ γὰρ τοῦ λύγου ἁπτόμενος ἀκίνδυνος ἦν». Σχολ. Θεοκρ. Α', 97 «ἁπαλὸς γὰρ ὁ λύγος· Ἀμερίας δέ φησι· λύγος, ῥάβδος, ἄγνος » (Γραπτέον ἴσως «λύγος, ῥάβδος *ἄγνου*»). Σχολ. Ἀπολλ. Ῥοδ. Α', 218 «λύγος γὰρ τὸ σκότος ἀπὸ τοῦ λύγου τοῦ φυτοῦ», κτλ. Ὁ Εὐστάθιος οὐ μόνον εἶπεν ἀρσενικῶς «ἐπεὶ ὁ λύγος καὶ ἄγνος καλεῖται» καὶ «ἐκ δὲ τοῦ τοιούτου λύγου» καὶ «παρὰ τὸν πρὸ ὀλίγων ῥηθέντα λύγον» καὶ «ἤγουν ὁ λύγος» καὶ «ἐκ τοῦ τοιούτου λύγου» (σελ. 834, 35 καὶ 39. σελ. 1639, 1—5), ἀλλὰ καὶ ἀξίαν σημειώσεως ὑπέλαβε τὴν παρ' Ὁμήρῳ κατὰ θηλυκὸν γένος ἐκφορὰν γράφων «τοὺς μέντοι λύγους θηλυκῶς προήγαγεν, ὡς δῆλον ἐκ τοῦ ἐφ' αἷς Κύκλωψ εὗδε» (σελ. 1638, 9).

Πᾶς δέ τις, νομίζομεν, καὶ μικρὸν ἐπιστήσας τὴν διάνοιαν κατανοεῖ ὅτι ἡ ῥῆσις «καὶ τὸν ἄγνον ὅτι ὑποστρωννύμενος *εἰς ἁγνείαν πιστεύεται*» δὲν εἶνε πλήρης, εὐκόλως δὲ δύναται νὰ εὕρῃ τὴν ἀπολομένην λέξιν, ἂν ἀποβλέψῃ μάλιστα εἰς τὸ τοῦ Γαληνοῦ «οὐ μόνον ἐσθιόμενα καὶ πινόμενα πρὸς ἁγνείαν πεπίστευται *συντελεῖν* ἀλλὰ καὶ ὑποστρωννύμενα».

### § 2. *οἴονταί τε — οἷόν τε.*

Ἐν τῷ αὐτῷ ἀποσπάσματι φέρεται «Μετροῦσι δὲ τὰς οὐρανίους κινήσεις ὡς ἄριστα, καὶ τὸν ἥλιον θεὸν ἥγηνται μέγιστον,

(*) Ὑπὸ τοῦ Βιλλοισῶνος ἐγράφη τ ὴ ν λ ύ γ ο ν. Ἴδε Σιννῆρον Λ ό γ γ. σελ. 198.

ψυχάς τε πᾶσι τοῖς ἄστροις δίδόασι, καὶ συμπάθειαν τοῖς οὖσιν εἰσάγουσιν ἄρρητον, *οἷόν τε* τὰ διῃρημένα, εἰ ἔλθοιεν εἰς ταὐτὸ πρὸς τόνδε ἢ τόνδε τὸν πλάνητα, συμπαθεῖν, οἷον Κρῆσσαν βοτάνην κτέ.» (σελ. 130, 22).

Τίς καὶ ἅπαξ μόνον τὴν περικοπὴν ταύτην ἀναγνοὺς δὲν αἰσθάνεται ὅτι ἀτοπώτατ' ἐν αὐτῇ κεῖται τὸ *οἷόν τε*; Τίνι δ' ὁπωσοῦν περὶ τὴν κριτικὴν τετριμμένῳ δὲν παρίσταται παραχρῆμα τὸ ὑγιῶς ἔχον «*οἴονταί τε* τὰ διῃρημένα, εἰ ἔλθοιεν εἰς ταὐτό, πρὸς τόνδε ἢ τόνδε τὸν πλάνητα συμπαθεῖν»;

Φανερὸν ὑπάρχει ὅτι, συγχεομένων ὑπὸ τῶν βιβλιογράφων τῆς καταλήξεως ΤΑΙ καὶ τοῦ συνδέσμου ΤΕ, εὔκολον ἦτο νὰ μεταπέσωσιν εἰς ἄλληλα τὸ *οἴονται* καὶ τὸ *οἷόν τε* (Ἴδε Λόγ. Ἑρμῆν Τόμ. Ε', σελ. 96 καὶ σελ. 99). Ἐν τῷ προκειμένῳ χωρίῳ ἀνεγνώσθη μὲν *οἷόν τε* ἀντὶ τοῦ *οἴονται*, ἠφανίσθη δ' εὐθὺς τὸ ἐξ ἀρχῆς τεθειμένον μόριον *τε* πρὸς σύνδεσιν τοῦ *οἴονται* μετὰ τῶν ἡγουμένων. ΟΙΟΝΤΑΙ ΤΕ — ΟΙΟΝ ΤΕ ΤΕ — ΟΙΟΝ ΤΕ.

Τῆς τοῦ συνδέσμου ΤΕ καὶ τῆς καταλήξεως ΤΑΙ συγχύσεως καταλέγομεν τὰ ἑξῆς παραδείγματα.

*ἄρχεται* — *ἄρχει τε*. Γαλην. Τόμ. Α', σελ. 216 «Καὶ τοῦτο οὖν λέληθεν αὐτούς, ὅτι οὐ πᾶν νόσημα καὶ *ἄρχει τε* καὶ ἐπιδίδωσι καὶ ἀκμάζει καὶ παρακμάζει». Γραπτέον *ἄρχεται*.

*διαθρυλλεῖται* — *διαθρυλλεῖ τε*. Θεμίστ. σελ. 461, 18 «*Διαθρυλλεῖ τε* ἡμῶν τὰ ὦτα». Ὁ Ἰακώψιος ἀποκατέστησε τὸ *διαθρυλλεῖται* ἐκ τῆς Πολιτείας τοῦ Πλάτωνος σελ. 358, γ'. Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶνε *διαθρυλεῖται* δι' ἑνὸς Λ.

*κουφιεῖ τε* — *κουφιεῖται*. Θεμίστ. σελ. 405, 18 «Καὶ δὴ τὰ πλείω πτερὰ μᾶλλον αὐτὴν *κουφιεῖται* καὶ ὑψηλοτέραν ποιήσει». Ὁ Κόβητος ἀνέγνω *κουφιεῖ τε* (*Μνημοσ*. 1860, σελ. 247). Καὶ τὸ ἐν σελ. 229, 26 «ὅπως ταύτην *ἁρμόσηται* καὶ εἰς τέλος διαφυλάξῃ» μετετύπωσεν ὁ κριτικὸς οὗτος εἰς *ἁρμόσει τε* καὶ — διαφυλάξει» (*Μνημοσ*. 1862, σελ. 413).

*ἐξευρίσκῃ τε* — *ἐξευρίσκηται*. Ξενοφ. Ἀπομν. Γ', δ', 5 «ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους — *ἐξευρίσκηται* καὶ προαιρῆται». Ὁ Βαλκενάριος μετέγραψεν *ἐξευρίσκῃ τε* (Ἴδε τὴν

ὑπὸ τοῦ Δινδορφίου ἔκδοσιν τῶν Ξενοφῶντος Ἀπομνημονευμάτων σελ. 240).

*εὕρισκέ τε — εὑρίσκεται*. Ἡρόδ. Α′, 125 «φροντίζων δὲ εὑρίσκεται ταῦτα καιριώτατα εἶναι· ἐποίεε δὴ τάδε». Προκριτέα πάντως εἶνε ἡ γραφὴ «εὕρισκέ τε ταῦτα καιριώτατα εἶναι καὶ ἐποίεε τάδε».

*Δαισιᾶται — Δαίσιοί τε*. Ἀππιαν. Ἰλλυρικ. 17 «καὶ Δαλμάται καὶ *Δαίσιοί τε* καὶ Παίονες». Τὸ ὀρθὸν εἶνε *Δαισιᾶται*. Ἴδε Schweighäuser *Ἀππιαν*. Τόμ. Γ′, σελ. 673.

Πολλὰ ἄλλα παραδείγματα ἐμνημονεύσαμεν ἐν τῷ *Λογίῳ Ἑρμῇ* Τόμ. Ε′, σελ. 170 κἑξ. Τὸ παρὰ Δημοσθένει σελ. 10, 3 «μὴ πανοῦργος ὢν καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι — *τρέψηται* καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων» ὁ μὲν Ῥείσκιος μετέβαλεν εἰς τὸ *δρέψηται*, ὁ δ' Οὐόλφιος εἰς τὸ *τρέψῃ τε*, ὁ δὲ Δοβραῖος εἰς τὸ *ἀνατρέψῃ τε*, ὁ δὲ Κόβητος εἰς τὸ *κλέψῃ τε* (*Ὑπερείδ*. *Ἐπιταφ*. σελ. 32 καὶ *Συμμ*. *Κριτ*. σελ. 11 καὶ σελ. 449).

## § 3. *ἀποτίσει — ἀποτίσεται*.

Αἰλιαν. παρὰ Σουΐδᾳ λ. *σοβαρός* (Τόμ. Β′, β′, σελ. 824 Βερν.) «Ἀλλὰ ταῦτα τεκμήρια ἐναργῆ τῆς Ταρταρώδους καὶ Ταντα-λείου αὐτοῦ τιμωρίας· ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὃς κακὰ πόλλ' *ἀποτίσεται*».

Τὸ μέσον ῥῆμα *ἀποτίσεται* ἰσοδυναμοῦν τῷ *λήψεται δίκην* ἢ *τιμωρήσεται* οὐδαμῶς ἁρμόζει τῷ προκειμένῳ χωρίῳ. Ὁ Αἰλιανὸς ἐποιήσατο χρῆσιν τοῦ ἐνεργητικοῦ «ὃς κακὰ πόλλ' *ἀποτίσει*», τουτέστιν : *ὃς κακῶν πολλῶν δώσει δίκην* ἢ *ὑφέξει δίκην*. Τῆς ὑπὸ τῶν βιβλιογράφων γινομένης συγχύσεως τῶν καταλήξεων ΕΙ καὶ ΕΤΑΙ πολλὰ ἔχομεν νὰ καταλέξωμεν παραδείγματα, ἀλλ' ἐν τῷ παρόντι σημειούμεθα μόνον ὅτι παρὰ μὲν τῷ Ἀπολλοδώρῳ Βιβλ. Α′, θ′, 29 παρέχουσι τἀντίγραφα «ὃν ἀμφιεσαμένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ *καταφλέγει*» ἀντὶ τοῦ *καταφλέγεται*, παρὰ δὲ τῷ Δημοσθένει σελ. 112, 8 οἱ μὲν ἄλλοι κώδικες φέρουσι «τοὔνομα μὲν τὸ τῆς εἰρήνης,

ὑμῖν *προβάλλεται*, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται», ὁ δ' ἐν Παρισίοις, ὁ πάντων ἄριστος, *προβάλλει*.

Παρατηρητέον δ' ὅτι καὶ τὸ παρ' Ἡροδότῳ ς', 84 «ἐμοὶ δὲ δοκέει τίσιν ταύτην ὁ Κλεομένης Δημαρήτῳ *ἐκτῖσαι*» εἶνε μεταβεβλημένον ἔν τινι τῶν ἀντιγράφων εἰς τὸ μέσον *ἐκτίσασθαι*. Τοὐναντίον ἐν τῷ παρ' Εὐσταθίῳ σελ. 1406, 27 στίχῳ τοῦ Εὐπόλιδος:

κατ' ἀντιβολίαν δέκα τάλαντ' ἀ π ε τ ι σ ά μ η ν

κεῖται ἀτόπως τὸ μέσον ἀντὶ τοῦ ἐνεργητικοῦ. Ἄνευ δέ τινος ὄκνου ἀποδεκτέον τὴν ὑπὸ τοῦ Κοβήτου γενομένην ἀνάγνωσιν *ἀπετίσαμεν* (*Nov. Lect.* σελ. 160).

## § 4. *ὁμοίωσιν θεῷ* — *ὁμοίωσιν θεῶν*.

Ἰουλιαν. σελ. 237, 3 Τεῦβν. «ὅτι, τὴν φιλοσοφίαν εἴθ', ὥσπερ τινὲς ὑπολαμβάνουσι, τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν, εἴτε ὁμοίωσιν *θεῶν* κατὰ τὸ δυνατόν, εἴθ', ὅπερ ὁ Πύθιος ἔφη, τὸ γνῶθι σαυτὸν ὑπολάβοι τις, οὐδὲν διοίσει πρὸς τὸν λόγον».

Ἐν σελ. 238, 12 φέρεται «τὸ τῷ θεῷ κατὰ δύναμιν ὁμοιοῦσθαι» καὶ σελ. 239, 24 «ἀλλὰ καὶ Πυθαγόρας οἵ τ' ἀπ' ἐκείνου μέχρι Θεοφράστου τὸ κατὰ δύναμιν ὁμοιοῦσθαι θεῷ φασι». Τὴν ἔννοιαν τοῦ *ὁμοιοῦσθαι θεῷ* δι' ὀνόματος παριστῶντες οἱ Ἕλληνες ἔλεγον *ὁμοίωσις θεῷ*, οὐχὶ *ὁμοίωσις θεοῦ* ἢ *θεῶν*. Οὐδὲν δὲ πρὸς τὸ προκείμενον διαφέρει ἂν ἐν τῇ τοῦ Ἰακώβου ἐπιστολῇ Δ', 9 ἀπαντᾷ «τοὺς ἀνθρώπους τοὺς *καθ' ὁμοίωσιν θεοῦ* γεγονότας».

Καὶ παρὰ Θεμιστίῳ σελ. 39, 7 ἀναγινώσκεται κακῶς «ὅτι μηδὲν ἄλλο ἐστὶ φιλοσοφία ἢ ὁμοίωσις *θεοῦ* κατὰ τὸ δυνατὸν ἀνθρώπῳ» ἀντὶ τοῦ *ὁμοίωσις θεῷ* ἤτοι *πρὸς θεόν*. Πρβ. σελ. 94, 9 «ἐφικτὴ βασιλεῖ πρὸς τὸν θεὸν ἡ ὁμοίωσις».

Θαυμαστὸν ἡμῖν φαίνεται ὅτι ὁ κριτικώτατος Μεινέκιος ἐξέδωκεν ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου Τόμ. Β', σελ. 21 «Σωκράτης Πλάτων ταὐτὰ τῷ Πυθαγόρᾳ, τέλος ὁμοίωσιν *θεοῦ*. Σαφέστερον δ' αὐτὸ διήρθρωσε Πλάτων προσθεὶς τὸ κατὰ τὸ δυνα-

τόν». Ἡ ῥῆσις τοῦ Πλάτωνος ἐν Θεαιτήτῳ κειμένη (σελ. 176) ἔχει οὕτω· «Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ *ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν*». Πρβ. Πλωτῖν. Ἐννεάδ. Α', β', 1 (σελ. 12) «Φευκτέον ἐντεῦθεν. Τίς οὖν ἡ φυγή; Θεῷ φησιν ὁμοιωθῆναι» καὶ Α', β', 3 (σελ. 13) «Λέγει δὴ ὁ Πλάτων τὴν ὁμοίωσιν τὴν πρὸς τὸν θεὸν φυγὴν τῶν ἐντεῦθεν εἶναι». Ἴδε Βυττεμβάχιον *Πλουτ. Ἠθικ.* Τόμ. ϛ', σελ. 335. Κρευζῆρον *Πλωτ. περὶ τοῦ καλοῦ* σελ. 289 καὶ Σταλβώμιον *Πλάτ.* Τόμ. Η', σελ. 170.

### § 5. *ἀνέχεσθαι* — *ἀναδέχεσθαι*.

Γαλην. Τόμ. ΙΒ', σελ. 235—6 «Σκωρία πᾶσα ξηραντικὸν ἱκανῶς ἐστι φάρμακον, ἡ δὲ τοῦ σιδήρου μάλιστα. Καὶ λειοτάτην γε ποιῶν αὐτὴν ἐν ὄξει δριμυτάτῳ καὶ μετὰ ταῦθ' ἕψων εἰς τὰ πυορροῦντα (Γρ. *πυορροοῦντα*) τῶν ὤτων χρονίως χρῶμαι φαρμάκῳ ξηραντικωτάτῳ, ὥστε θαυμάζειν τοὺς ἰδόντας σκευαζόμενον αὐτὸ καὶ ἀπιστεῖν αὐτῷ πρὸ τῆς πείρας, εἰ *ἀναδέχεσθαι* δύναται τὰ ὦτα τοιούτου φαρμάκου».

Τὸ *ἀνΑΔέχεσθαι* οὐδένα τόπον ἔχον ἐνταῦθα ὀφείλει νὰ μεταβληθῇ εἰς τὸ *ἀνέχεσθαι· εἰ ἀνέχεσθαι δύναται τὰ ὦτα τοιούτου φαρμάκου*. Πρβ.

*ἀναπλῶσαι* — *ἀναπΛΗΡῶσαι.*

*κατεπόνουν* — *κατεΔΑπάνων.*

*πολεῖται* — *Ἀποτελεῖται.*

*καθεὶς* — *καΤΑθεὶς.*

*μεθεὶς* — *μεΤΑθεὶς.*

*κατεράσας* — *κατΑΚεράσας.*

*μετεράσας* — *μετΑΚεράσας.*

*κατελάσας* — *κατΑΓελάσας.*

*ἐπιλησομένους* — *ἐπιΜΕλησομένους.*

*παρεῶσθαι* — *παρεωΡΑσθαι.*

*μείλια* — *ΚΕΙμήλια* ἢ *ΓΑμήλια*.

*Γέται* — *ΛΕγεται*.

*σχενδυλητοί* — *σχενδυΛΟληΠτοι*.

*ἐπιπρόσθησις* — *ἐπιπροσθΕΤησις*.

*ὑποδῶν* — *ὑπὸ ΠΟδῶν*

κτλ. Περὶ τῶν τοιούτων μετ' ἀκριβείας θὰ διαλάβωμεν ἀλλαχοῦ.

## § 6. *οὐ* — *οὕτω(ς)*.

Βεκκ. Ἀνέκδ. σελ. 21, 33 κἑξ. «Λέγεται δὲ τὸ ἀδολεσχεῖν ἤτοι ἀπὸ τοῦ ἅδην καὶ λεσχηνεύειν. Ἀλλ' εἰ μὲν ἀπὸ τοῦ ᾄδειν, προσγράφου τὸ Ι ἐν τῷ ἀοιδολέσχης· εἰ δὲ ἀπὸ τοῦ ἀηδοῦς, *οὕτως*. Οἱ γὰρ Ἴωνες τὴν ἀηδίαν συναλείφοντες τρισυλλάβως γράφουσι· διὸ καὶ ἐξετάθη».

Ἀναπληροῦντες τὰ ἐλλείποντα καὶ ἐπανορθοῦντες τὰ ἡμαρτημένα ἀναγινώσκομεν «Λέγεται δὲ τὸ ἀδολεσχεῖν ἤτοι ἈΠΟ ΤΟΥ (ἀηδοῦς ἢ ἈΠΟ ΤΟΥ) *ᾄδειν* καὶ λεσχηνεύειν. Ἀλλ' εἰ μὲν ἀπὸ τοῦ ᾄδειν, *προσγράφεται* τὸ Ι ἐν τῷ (ἈΙΔΟΛΕΣΧΗΣ ὡς ἐκ τοῦ) ἈΕΙΔΟΛΕΣΧΗΣ· εἰ δὲ ἀπὸ τοῦ ἀηδοῦς, *οὔ*. Οἱ γὰρ Ἴωνες *τὸ ἀηδῆσαι* συναλείφοντες τρισυλλάβως γράφουσι· διὸ καὶ ἐξετάθη».

Τὸ *οὐ* καὶ *οὕτω (οὔ)* πολλαχοῦ ὑπὸ τῶν μεταγραφέων συνεχύθησαν.

Βεκκ. Ἀνέκδ. σελ. 101, 8 «Κράζειν : *οὕτω* δεῖν φασι λέγειν, ἀλλὰ κραυγάζειν ἢ βοᾶν». Γραπτέον «*οὐ* δεῖν φασι λέγειν». Ἴσως δὲ καὶ τὸ ἐν σελ. 92, 26 «Εὐειδής : *οὕτω* φασὶν *ἀδόκιμον* εἶναι τὸ ὄνομα» ὀφείλει νὰ μετατυπωθῇ εἰς τὸ «*οὔ* φασι *δόκιμον* εἶναι τὸ ὄνομα».

Ἡσύχ. «Πόθεν : ἀπὸ τίνος μέρους ἢ μεθ' ὑποκρίσεως ἀντὶ τοῦ *οὕτως*». Πρβ. Σχολ. Ἀριστοφ. Βατρ. 1455 «Πόθεν : ἀρνητικῶς ἴσον τῷ *οὐδαμῶς*». Σχολ. Εὐριπ. Φοιν. 1620 «Πόθεν : *οὐδαμῶς*» καὶ Ἑκ. 613 «Τὸ πόθεν καὶ τὸ *οὐδαμῶς* ταὐτὸ σημαίνει· διαφέρουσι δὲ κατὰ τοῦτο, ὅτι τὸ μὲν πόθεν ἐμφαίνει ἐρώτησίν τινα, τὸ δὲ οὐδαμῶς τελείαν ἀπόφασιν». Τῆς τοιαύτης χρήσεως τοῦ

*πόθεν* πολλὰ ἔχομεν συνηγμένα παραδείγματα, ἐξ ὧν μνημονεύομεν μόνον τὸ Δημοσθενικὸν «Ἀλλ' οὐκ ἔστι ταῦτα. Πόθεν; Πολλοῦ γε καὶ δεῖ» (σελ. 241, 47).

Στράβ. σελ. 328 «τὸν μέντοι ποιητὴν *οὕτω* λέγειν Ἑλλοὺς ἀλλὰ Σελλοὺς ὑπολαμβάνει τοὺς περὶ τὸ ἱερόν». Ἡ ὀρθὴ γραφὴ εἶνε «*οὐ* λέγει Ἑλλοὺς ἀλλὰ Σελλοὺς κτέ.».

Σχολ. Σοφοκλ. Τόμ. Β', σελ. 365, 16 Δινδ. «*οὐ* χρὴ γράφειν τὸ ἥτις». Τὸ ὀρθὸν «*οὕτω* χρὴ γράφειν» βλέπει τις ἐν σελ. 316, 32. σελ. 326, 36 καὶ σελ. 354, 21. Πρβ. καὶ σελ. 381, 13 «*οὕτως* ὀφείλει ὁ παρὼν στίχος γράφεσθαι».

Ἐτυμολ. Μέγ. σελ. 652, 48 «Παρακρούεται: ἀπατᾷ· ἀπὸ μεταφορᾶς τῶν παλαιστῶν (τῶν) οὐ καταβαλλόντων ἀλλ' ἐν ὥρᾳ παρακρουόντων ἢ ποδὶ ἢ χειρὶ καὶ *οὐ* ῥιπτούντων». Ἂν μὴ σφαλλώμεθα, ὁ Ἐτυμολόγος ἔγραψε «καὶ *οὕτω* ῥιπτούντων».

Πρβ. καὶ Σχολ. Ἰλιάδ. Τόμ. Α', σελ. 219, 22. σελ. 307, 28 καὶ Τόμ. Β', σελ. 99, 1 Δινδ. Ἔτι δὲ Τόμ. Β', σελ. 28, 27.

### § 7. *φιληδοῦντας* — *φιληδονοῦντας* καὶ *φιληδούντων* — *φιληδονούντων*.

Ὠριγέν. Τόμ. ΙΓ', σελ. 216 «Ἀπειλητικὸν γὰρ ἡ ἀρετή τε καὶ γνῶσις πρὸς τοὺς *φιληδονοῦντας* πλάναις καὶ μέθαις» καὶ Τόμ. Κ', σελ. 7 «ταῖς ἀπὸ τῶν θυσιῶν ἀναθυμιάσεσι καὶ ταῖς ἀπὸ τῶν αἱμάτων καὶ ὁλοκαυτωμάτων ἀποφοραῖς τρεφόμενα αὐτῶν τὰ σώματα, *φιληδονούντων* τοῖς τοιούτοις».

Τὸ *φιληδονεῖν* δηλοῖ *φιλήδονον εἶναι*. Ἡ δ' ἔννοια τοῦ ἀρέσκεσθαι ἢ ἀσμενίζειν ἐνεφανίζετο παρὰ τοῖς Ἕλλησι διὰ τοῦ *φιληδεῖν*. Ὅθεν ἀναγνωστέον παρὰ τῷ Ὠριγένει *φιληδοῦντας* ἀντὶ τοῦ *φιληδΟΝοῦντας* καὶ *φιληδούντων* ἀντὶ τοῦ *φιληδΟΝούντων* (Πρβ. § 5).

Καὶ ἐν τῷ περὶ Ζῴων τοῦ Αἰλιανοῦ Βιβλ. Β', 15 φέρουσί τινα τῶν ἀντιγράφων «πομπίλον πελάγιον καὶ βυθῷ *φιληδονοῦντα* εἰδέναι χρὴ μάλιστα ἰχθύων ὧν ἴσμεν ἀκοῇ» ἀντὶ τοῦ *φιληδοῦντα*. Πρβ. Β', 41: φιληδοῦσι δὲ μᾶλλον τοῖς μεμιασμένοις καὶ κακόσμοις. Δ', 59: ἀλλ' οὐδὲ ἠπείροις φιληδεῖ οὐδὲ νήσοις ἀγαθαῖς.

Ε', 3 : τῷ πηλῷ καὶ τῇ ἰλύϊ φιληδοῦντες. Ἀριστοφ. Εἰρ. 1130 : οὐ γὰρ φιληδῶ μάχαις. Ἀντιφάν. παρ' Ἀθην. σελ. 95, ς': φιληδεῖ ταῖς ὑσίν. Καλλίμ. εἰς Ἀπόλλ. 56 : Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιληδεῖ κτιζομένῃς. Διογέν. Λαέρτ. Β', 58 : ἢ σὺ φιληδῶν οὕτως ἀρέσκῃ. Πολύβ. ΛΔ', ι', 4 : φιληδοῦσι γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ. Ἀθήν. σελ. 104, δ': ὃς διὰ τὸ φιληδεῖν τῷ βρώματι Κάραβος ἐπεκλήθη.

§ 8. *ἄν τι πταίσωσι — ἂν τυπτήσωσι.*

Ἀριστοτέλ. Τόμ. Α', σελ. 520, 3 Διδ. «Ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουργὸς ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντας, ἂν *τυπτήσωσι*, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν συγγνώμην ἀπέβλεψεν ἀλλὰ πρὸς τὸ συμφέρον».

Κρυγῆρος *Griech. Sprachl.* § 40 : τύπτω schlage, Fu. τυπτήσω, unatisch aber ist ἐτύπτησα (Aristot. Pol. 2, 9, 9 vgl. Lobeck Phryn. p. 764).

Κυννῆρος *Ausführl. Grammat.* § 343 : τύπτω—ἐτύπτησα Sp. seit Aristot.; dafür att. ἐπάταξα, ἔπαισα.

Κούρτιος *Verb.* Τόμ. Α', σελ. 384 : τύπτω — ἐτύπτησα erst bei Aristoteles Pol. II 12 (ἂν τυπτήσωσι), viel später τετύπτηκα (Pollux IX 129), τετύπτημαι (Luc.).

Καυσῆρος *Φιλοστρ.* Τόμ. Α', σελ. XIX Τεϋβν. : in 15, 11 τυπτήσας τὸν ἑαυτοῦ δοῦλον scribit Philostratus auctore Aristotele Pol. II 9 (58, 10) νόμος δ' — τοὺς μεθύοντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων damnatum a Cobeto.

Ὁ ἀόριστος *ἐτύπτησα* εἶνε τοῦ πονηροῦ κόμματος. Καὶ ἄμεμπτος δ' ἂν ἦτο ὁ τύπος οὗτος, τὸ παρ' Ἀριστοτέλει κείμενον «τὸ τοὺς μεθύοντας, *ἂν τυπτήσωσι*, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων» θὰ εἶχεν ἀτόπως· διότι οὐ μόνον νὰ τύπτωσι δύνανται οἱ μεθύοντες ἀλλὰ καὶ πολλαχῶς ἄλλως νὰ πλημμελῶσι καὶ ὑβρίζωσιν. Ὁ Ἀριστοτέλης ἔγραψεν ἀναντιλέκτως *ἄν τι πταίσωσι*,

τουτέστιν *ἄν τι ἁμάρτωσι*. Πρβ. Ῥητορ. Β', κε', 7 «οἷον εἴ τις ἐνθύμημα εἶπεν ὅτι τοῖς μεθύουσι δεῖ συγγνώμην ἔχειν, ἀγνοοῦντες γὰρ *ἁμαρτάνουσιν*, ἔνστασις οὔκουν ὁ Πιττακὸς αἰνετός(*)· οὐ γὰρ ἂν μείζους ζημίας ἐνομοθέτησεν, ἐάν τις μεθύων *ἁμαρτάνῃ*» καὶ Διογέν. Λαέρτ. Α', 76 «Νόμους δ' ἔθηκε (Πιττακός)· τῷ μεθύοντι, *ἐὰν ἁμάρτῃ*, διπλῆν εἶναι τὴν ζημίαν· ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου».

Τὴν παρατήρησιν ταύτην ἐποιησάμεθα πρὸ πολλοῦ ἀγνοοῦντες ὅτι πάλαι ἤδη ὁ Μούρητος ἀποκατέστησε τὴν ἀληθῆ γραφὴν *ἄν τι πταίσωσι* (*Oper. Omn.* Τόμ. Β', σελ. 329 Ῥουγκ.). Ἐμάθομεν δ' ἔπειτα ἐκ βιβλίου τοῦ Βερνάρδυος ἐπιγραφομένου *Paralipomena Syntaxis Graecae* (σελ. 40) ὅτι καὶ ἄλλοι ἐπηνώρθωσαν τὸ περὶ οὗ ὁ λόγος χωρίον (**). Διδάσκει δὲ νῦν ἡ ὑπὸ τοῦ Σουσεμιλίου ἔκδοσις τῶν Πολιτικῶν τοῦ Ἀριστοτέλους (σελ. 149) ὅτι ἐν τοῖς κώδιξι φέρεται οὐ μόνον *ἂν τυπτήσωσι* ἀλλὰ καὶ *ἄν τι πταίσωσι* ἢ *πταίωσι*

Παρὰ τοῖς δοκίμοις μόνου τοῦ μέλλοντος *τυπτήσω* καὶ *τυπτήσομαι* ἐγίνετο χρῆσις. Ἀριστοφ. Νεφ. στίχ. 1379:

> ἀλλ' αὖθις αὖ τυπτήσομαι.

στίχ. 1444:

> τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω.

Πλούτ. στίχ. 20:

> οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.

Σχολ. «Τὸ δὲ *τυπτήσεις* Ἀττικόν ἐστιν ἀπὸ τοῦ τυπτέω ἀχρή-

---

(*) Ὁ Βαλλὴν ἔγραψε συνετός ἀντὶ τοῦ αἰνετός.

(**) Πρβ. καὶ Βυττεμβάχιον Πλουτ. Τόμ. Ϛ', σελ. 961 καὶ Σπέγγελον Ἀριστοτ. Ῥητορ. Τόμ. Β', σελ. 347. Καὶ ὁ Κοραῆς δ' ἐν τῇ ἐκδόσει τῶν Πολιτικῶν τοῦ Ἀριστοτέλους ἐγκρίνας τὴν ἀνάγνωσιν ἄν τι πταίσωσι γράφει ἐν ταῖς Σημειώσεσι (σελ. 279) «Ἄν τι πταίσωσι.] ΕΔ, ΑΤ, ἂν τυπτήσωσι, ἀνθ' οὗ ὁ Σνεϊδέρος κατ' ἐνεστῶτα, ἄν τι πταίωσι».

ὅτου θέματος». Φώτ. σελ. 610, 23 «*Τυπτήσεις:* οὕτως λέγουσι τὸ μέλλον. Ἀριστοφάνης». Χοιροβοσκ. σελ. 640, 31 «οἷον τύπτω τύψω καὶ τυπτῶ τυπτήσω·

οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε

Ἀριστοφάνης ἐν Πλούτῳ» (Πρβ. καὶ Εὐστάθ. σελ. 450, 30). Λεξ. Οὐϊνδοβ. σελ. 176, 13 «*Τυπτήσω:* Ἀττικῶς. Ἀριστοφάνης· οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε. Καὶ Λιβάνιος· κἂν ὑβρίσῃ, τυπτήσει γε προϊών».

Πλάτ. Γοργ. σελ. 527, ά «καί σε ἴσως *τυπτήσει* τις». Ἱππ. Μείζ. σελ. 292, β′ «ἢ καὶ σύ με ἄκριτον *τυπτήσεις*;». Δημοσθέν. σελ. 580, 204 «ἀλλὰ νομίζεις ἡμᾶς μὲν ἀνέξεσθαί σου, αὐτὸς δὲ *τυπτήσειν*;». σελ. 585, 221 «πεπίστευκε τῇ πολιτείᾳ μηδένα ἕλξειν μηδ' ὑβριεῖν μηδὲ *τυπτήσειν*». Πρβ. καὶ Ἀριστοτέλ. Τόμ. Α′, σελ. 281, 41 «ἄνθρωπον ἀλλ' οὐκ ἀνθρώπους *τυπτήσει*». Γαλην. Τόμ. Η′, σελ. 572 «κἂν τούτῳ διανίστατο *τυπτήσων*». Σχολ. Ἀριστοφ. Ἱππ. 289 «τί δῆτ' ἄνω βλέπεις ὡς *τυπτήσων* τινά;», κτλ.

Τὸ ἐν τῷ κώδικι τοῦ Ἡσυχίου «*Τυπήσει:* πλήξει» μετετυπώθη ὑπὸ τοῦ Ἐρρίκου Στεφάνου εἰς τὸ *τυπτήσει*. Περὶ τοῦ παρὰ Μοίριδι σελ. 373 «*Τυπτήσειν* Ἀττικῶς, *παίσειν* Ἑλληνικῶς» θὰ διαλάβωμεν ἀλλαχοῦ.

Ὁ ἀόριστος *ἐτύπτησα* καὶ *ἐτυπτήθην* καὶ ὁ παρακείμενος *τετύπτηκα* καὶ *τετύπτημαι* εἶνε τῶν μεταγενεστέρων ἴδιοι.

Πολυδεύκ. Γ′, 79 «τὸ δὲ μαστιγῶσαι καὶ *τυπτῆσαι*». Η′, 76 «ᾐκίσατο, *ἐτύπτησε*, πληγαῖς ἔκοψε». Η′, 78 «ᾔκισται κατῄκισται, *τετύπτηται*, διακέκοπται». Θ′, 129 «ὁ δὲ παίσας ἐρωτᾷ ποτέρᾳ *τετύπτηκεν*».

Λουκιαν. Δημών. 16 «οἱ μὲν παρόντες ἠγανάκτουν ὡς αὐτὸς ἕκαστος *τετυπτημένος*».

Φιλόστρατ. σελ. 18 «*τυπτήσας* τὸν ἑαυτοῦ δοῦλον». σελ. 555 «προστάξαι *τυπτῆσαι* αὐτήν». σελ. 588 «*τετυπτηκότος* τὸν τεθνάναι λεγόμενον».

Γαλην. Τόμ. Ε′, σελ. 17 «τὸ μηδέποτε *τυπτῆσαι* τῇ χειρί μου μηδένα».

Φίλων Τόμ. Ε′, σελ. 56 «ἄν, φησί, τις *τυπτήσῃ* πατέρα ἢ μητέρα καταλευέσθω» καὶ «τὰ μέρη οἷς *ἐτύπτησαν* τοὺς γονεῖς ἀκρωτηριάζεσθαι». σελ. 95 «ἐὰν δὲ μὴ εὐθὺς ἐκ τῶν πληγῶν οἱ *τυπτηθέντες* ἀναιρεθῶσιν». Τόμ. Ϛ′, σελ. 54 «ταῖς ἐλευθεριωτέραις καὶ πολιτικωτέραις μάστιξι *τετυπτημένων*».

Ἰουλιαν. σελ. 451, β′ «ὁ δὲ *τυπτήσας* ἱερόσυλος ἂν εἴη».

Κέλσ. παρ' Ὠριγέν. Τόμ. Κ′, σελ. 29 «τῷ δ' ἅπαξ *τυπτήσαντι* παρέχειν καὶ αὖθις τύπτειν». Πρβ. καὶ σελ. 39.

Ἀχιλλ. Τάτ. Ε′, 26 «*τετύπτησαι* βλεπούσης μου». Ἴδε Ἰακώψιον *Ἀχιλλ. Τατ.* σελ. 830.

Σιμπλίκ. Ἐξηγ. εἰς Ἐπικτ. Ἐγχειρ. σελ. 29, 31 Διδ. «ἢ χρημάτων ἀφαιρεθῆναι ἢ *τυπτηθῆναι*».

Ῥήτ. Οὐαλζ. Τόμ. Α′, σελ. 19, 12 καὶ σελ. 20, 2 «Διογένης ἰδὼν μειράκιον ἀτακτοῦν τὸν παιδαγωγὸν *ἐτύπτησε*». Τόμ. Β′, σελ. 21, 4 καὶ σελ. 282, 2 «ὡς ἐπὶ τοῦ Διογένους τοῦ *τυπτήσαντος* τὸν παιδαγωγόν». Τόμ. Δ′, σελ. 309, 13 «οἷον ἐν ὅρῳ τὸ *τετυπτηκέναι* Δημοσθένη». Τόμ. Η′, σελ. 228, 16 «*ἐτύπτησας* γάρ, φησίν, ἐπὶ τῆς ἑστίας κωμάζοντα». σελ. 502, 5 «ὁ δεῖνα τὸν δεῖνα *ἐτύπτησεν* ἑταῖρόν μου». σελ. 651, 29 «συγγνώμης ἄξιοι ἦσαν οἱ *τυπτήσαντες* ἐκείνους». Τόμ. Θ′, σελ. 607, 12 «καὶ πάλιν Δημοσθένης φησὶ *τετυπτῆσθαι* ἐπὶ τῆς ὀρχήστρας μέσης». Ἐν σελ. 521 ἀντὶ τοῦ «ὁ μὲν γὰρ ἐν οἰκίᾳ, φησίν, *ἐπλήγη*, ἐγὼ δ' ἐν ἱερῷ» ὁ ἄριστος κῶδιξ φέρει *ἐτυπτήθη*, ὅπερ εὖ ποιῶν προὐτίμησεν ὁ Σπέγγελος *Ῥητ. Ἑλλ.* Τόμ. Α′, σελ. 375, 30.

Μῦθ. Αἰσώπ. 66 «*τυπτήσαντα* δὲ πολλοῖς καλοῖς ἠμείψω».

Φώτ. Βιϐλ. σελ. 12, 36 «οἱ αἱρετικοὶ *ἐτυπτήθησαν* καὶ ἀνεθεματίσθησαν». σελ. 18, 3 «Ἰωάννης τις μοναχὸς ἐξ ἐπιτροπῆς τοῦ Χρυσοστόμου *ἐτυπτήθη*». σελ. 38, 1 «ὃν ὁ μάγος *τυπτήσας* ἐτύγχανε».

Ἐπιφάν. Τόμ. Β′, σελ. 211, 18 «ἐάν τίς σε *τυπτήσῃ* εἰς τὴν δεξιὰν σιαγόνα». Τόμ. Γ′, σελ. 138, 26 «φάσκοντες πρεσϐύτερόν τινα τοῦ Μαρεώτου Ἀρσένιον *τετυπτῆσθαι*».

Ζωναρ. Ἐπιτ. Ἱστορ. ΙΔ′, 13 «ὡς *τυπτηθῆναι* παρά τινων».

ΙΔ', 22 «ὡς καὶ αὐτὴν *τυπτῆσαί* ποτε τὴν μητέρα τοῦ βασιλεύοντος». ΙΔ', 23 «τοὺς δ' αὐτῷ συναιρομένους ἐκ τῶν ἀρχόντων *τυπτήσας*».

Σουΐδ. Τόμ. Α', ά, σελ. 1258 «*τυπτηθεὶς* ὑπὸ Μειδίου». Πρβ. Λοβέκκιον *Φρυν*. σελ. 764.

Λιβάν. Ὑποθ. Δημοσθ. σελ. 1255 «λέγων ὑπ' αὐτοῦ καὶ τοῦ παιδὸς αὐτοῦ *τετυπτῆσθαι*». Πρβ. καὶ Σχαιφῆρον *Δημοσθέν*. Τόμ. Γ', σελ. 307 καὶ Τόμ. Ε', σελ. 366.

Σχολ. Δημοσθ. σελ. 537, 11 Δινδ. «τὸ γὰρ *τυπτηθέντα* μὴ λαβεῖν δίκην ἔοικε τῷ ἡττᾶσθαι». σελ. 561, 7 «πόσῳ μᾶλλον ὁ τὸν χορηγὸν *τυπτήσας*;». σελ. 572, 12 «καὶ φέρειν πληγὰς ἐπιστάμενος οὐκ ἤνεγκε *τυπτηθείς*» (Πρβ. καὶ σελ. 572, 21 καὶ 28). σελ. 640, 20 «οὐ γὰρ *ἐτύπτησεν* αὐτὸν οὐδὲ ὕβρισεν».

Σχολ. Ἀριστοφ. σελ. 48, 34 Διδ. «αὐτὸς δὲ πολλὰ κακοπαθήσας καὶ *τυπτηθεὶς* ἐν τῷ μαγειρείῳ». σελ. 133, 2 «ἀντὶ τοῦ *τυπτῆσαι* ἡμᾶς». σελ. 142, 5 «μὴ λυποῦ ὅτι *ἐτυπτήθης*». σελ. 161, 14 «λείπει *ἐτύπτησεν*». σελ. 164, 25 «ὁ οἰκέτης ἐξέρχεται *τυπτηθεὶς* ὑπὸ Φιλοκλέωνος». σελ. 204, 34 «καὶ ἐπιδραμόντες κατέλαβον καὶ *ἐτύπτησαν*».

Ἀρμενόπουλ. Δ', ιέ, 15 «εἰ δέ τις τὴν ἰδίαν γαμετὴν μάστιξιν ἢ ξύλοις *τυπτήσῃ*» καὶ «μάστιξιν ἢ ξύλοις *τυπτῆσαι* τὴν ἑαυτοῦ γαμετήν».

Παράφρ. Ἰλιάδ. Κ, 530 «*ἐτύπτησε* δὲ ὁ Ὀδυσσεύς». Ρ, 77 «*τυπτηθῆναι* ἢ ἐποχηθῆναι».

Ἀπαντᾷ δὲ καὶ παρὰ Γεωργίῳ Πισίδῃ εἰς τὸ Ἑξαήμ. 960:

φοβεῖ δὲ τὸν λέοντα τ υ π τ η θ ε ὶ ς κύων.

καὶ παρὰ Πλωχείρῳ Δραματ. 93:

ναί, τὰς μιαρὰς ὠκέως τ υ π τ ή σ α τ ε.

Ἐν ταῖς Νεφέλαις τοῦ Ἀριστοφάνους στίχ. 1409 οἱ ἄριστοι τῶν κωδίκων φέρουσι τὸ βάρβαρον:

καὶ πρῶτον ἐρήσομαί σε τουτί· παῖδά μ' ὄντ' ἐ τ ύ π τ η σ α ς;

ἀντὶ τοῦ «παῖδά μ' ὄντ' *ἔτυπτες*;»

Παρατηρητέον ἐν τέλει ὅτι ὑπάρχει καὶ ἐπίθετον *τυπτητέος* εὑρισκόμενον παρὰ Δημοσθένει σελ. 1271, 44 «οὐ *τυπτητέοι* οὐδὲ ὑβριστέοι δήπου ἐσμέν».

§ 9. *Ἐρευθαλίων—Εὐρυθαλίων, διηρθρωμένην—διωρθωμένην, γρῶνος—στῶνος, κέπφος—κέκφος καὶ οὐ δεόντως—οὐδὲ ὄντως.*

Ἡρωδιαν. Τόμ. Α', σελ. 20, 6 Λεντζ. «Εὐρυτίων, *Εὐρυθαλίων*, Ἀριστίων». σελ. 108, 12 «καὶ ἄνθρωπος ὁ *διωρθωμένην* ἔχων τὴν ὄπα». σελ. 177, 13 «ὦνος ἡ τιμή, *στῶνος*, χῶνος ἡ χώνη». σελ. 224, 21 «λόφος, *κέκφος* εἶδος ὀρνέου». σελ. 423, 9 «*οὐδὲ ὄντως* οὖν Ἀττικοὶ τὸ αἴτιαι ἥμεραι εὐπράξιαι τιμώριαι προπαροξύνουσιν».

Γραπτέον *Ἐρευθαλίων* ἀντὶ τοῦ *Εὐρυθαλίων*, *διηρθρωμένην* ἀντὶ τοῦ *διωρθωμένην*, *γρῶνος* ἀντὶ τοῦ *στῶνος*, *κέπφος* ἀντὶ τοῦ *κέκφος* (ἢ *κέμφος* Κραμ. Ἀν. Ὀξ. Τόμ. Α', σελ. 372, 13) καὶ *οὐ δεόντως* ἀντὶ τοῦ *οὐδὲ ὄντως*.

§ 10. *ὦ τιμία μοι κεφαλή—ὥστε μία μοι κεφαλή.*

Γαλην. Τόμ. ΙΘ', σελ. 684—5 «Τροφιμώτατος μὲν αὐτῶν ἐστὶ πάντων ὁ σιλιγνίτης καὶ ἐπιμονώτατος καὶ δυναμώτατος, δεύτερος δὲ κατὰ πάντα ὁ σεμιδαλίτης, ἥττων δὲ τούτων ὁ μέσος καὶ συγκόμιστος, πάντων δ' ἀσθενέστερος ὁ πιτυρίας. Σὺ δέ, *ὥστε μία μοι κεφαλή*, ὑγιαίνων μὲν χρῶ τῷ σιλιγνίτῃ· εἰ δὲ καὶ νεφρῖτις γένηταί σοι, ὅπερ ἀπέχομαι ἐν νόσῳ ὑπὸ ταύτης κατέχῃ, ἐὰν ὄρεξις νύττῃ σε, ἀβλαβῶς χρῶ κτέ.».

Ἡ ῥῆσις αὕτη γέμει σφαλμάτων· ἀποκαθίσταται δ' ὑγιής, ἂν ἀναγνωσθῇ «Τροφιμώτατος μὲν αὐτῶν ἐστι πάντων ὁ σιλιγνίτης καὶ ἐπιμονώτατος καὶ *δυναμικώτατος* — Σὺ δέ, *ὦ τιμία* μοι κεφαλή, ὑγιαίνων μὲν χρῶ τῷ σιλιγνίτῃ· εἰ δὲ καὶ νεφρῖτις γένηταί σοι, ὅπερ *ἀπεύχομαι*, ἐν *ὅσῳ* ὑπὸ ταύτης κατέχῃ κτέ.».

Ὀρθῶς ἐν σελ. 686 εἶνε γεγραμμένον «διὰ τοῦτο καὶ *δυναμικώτατον*». Πρβ. καὶ σελ. 685 «εἰ καὶ πολύτροφοι καὶ *δυναμικώτεροι*».

Τοῦ *τιμία κεφαλή* ποιεῖται μνείαν καὶ ὁ Εὐστάθιος γράφων σελ. 713, 2 «Ἰστέον δὲ ὅτι ἐν τῷ *φίλη κεφαλή* τὸν ὅλον Τεῦκρον ἐδήλωσεν ἀπὸ τοῦ καιριωτάτου μέρους· καθόλου γὰρ οὐκ ἔστιν ἄλλως ἀπὸ μέρους καλέσαι τὸ ὅλον εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον—Ἰστέον δὲ ὡς, Ὁμήρου ἀρχὴν ἐνδόντος, λαλεῖται παρὰ τοῖς ὕστερον οὐ μόνον τὸ *ΤΙΜΙΑ ΚΕΦΑΛΗ* καὶ *ἀξία τοῦ παντός* καὶ *σεβασμία* καὶ ὅσα τοιαῦτα σεμνὰ ἀλλὰ καὶ ἀνάπαλιν· *κακὴ* γοῦν *κεφαλή* ποτε (καὶ) *ἀναιδὴς* καὶ *μισητὴ* καὶ τοιαῦθ' ἕτερα». Πρβ. καὶ σελ. 830, 5 «Καὶ ὅρα τὸ *κεφαλὰς* χρήσιμον ὂν εἰς τὸ *Τεῦκρε, φίλη κεφαλή* καὶ *τοίην γὰρ κεφαλὴν ποθέω*, ὡς ἀδιάφορον ὂν ψυχὴν εἰπεῖν ἢ κεφαλήν· τοῦτο δὲ διὰ τὸ δοκεῖν ἐν κεφαλῇ ἱδρῦσθαι τὸ τῆς ψυχῆς θειότατον». σελ. 1350, 27 «Ἡ δὲ *Ἑκτορέη κεφαλή* ἁπλοϊκῶς νῦν τὸν τοῦ Ἕκτορος φράζει νεκρόν· τὸ μέντοι *Τεῦκρε, φίλη κεφαλή* ἄλλην ἀγωγὴν ἔχει, οὗ πρὸς ὁμοιότητα *φίλτατον κάρα* φησὶ Σοφοκλῆς». σελ. 1421, 4 «Καθὰ καὶ τὸν ἄνθρωπον ἀπὸ τῆς κεφαλῆς λαλεῖ οὐ μόνον ἐν τῷ *Τεῦκρε, φίλη κεφαλή* καὶ ἐν τῷ *φίλης κεφαλῆς ὀλετῆρα* καὶ *Ἑκτορέης κεφαλῆς ἄποινα* ἀλλὰ καὶ ἐνταῦθα ἐν τῷ *τοίην γὰρ κεφαλὴν ποθέω* ἤτοι τὸν Ὀδυσσέα». Ἔτι δὲ Σχολ. Ἀριστοφ. Ἀχαρν. 285 «*Ὦ μιαρὰ κεφαλή*: Ἐκ τοῦ ἡγεμονικοῦ μέρους τοῦ σώματος δηλοῖ τὸν ἄνδρα παραπλησίως Ὁμήρῳ *Τεῦκρε, φίλη κεφαλή* καὶ *τοίην γὰρ κεφαλήν*. Καὶ παρὰ Δημοσθένει *καὶ τοῦτ' ἔλεγες, ὦ μιαρὰ κεφαλή*» καὶ Σχολ. Εὐριπ. Ἑκ. 87 «Τουτέστι τὸν Ἕλενον. Ἀπὸ τοῦ κρείττονος μέρους αὐτὸν ὀνομάζει, ὥσπερ καὶ ἡμεῖς ἀντὶ τοῦ τὸν δεῖνα εἰπεῖν *τὴν ἱερὰν* λέγομεν *κεφαλήν*» καὶ 676 «Τὸ μαντικόν, τὸ ἐνθουσιαστικὸν κάρα, ἤγουν τὸ σῶμα, ἀπὸ τοῦ κρείττονος μέρους τὸ ὅλον, ὡς φαμὲν καὶ *ἱερὰν κεφαλήν*, τῆς μάντεως Κασάνδρας φέρεις;» καὶ 1132 «Πολλαὶ δὲ χεῖρες, ἤγουν γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ *τοίην γὰρ κεφαλὴν* ἀντὶ τοῦ ἄνδρα». Λέγει δὲ καὶ ὁ Πλούταρχος ἐν τοῖς Ἠθικοῖς σελ. 692, ἐ «ὥσπερ ψυχὴν καὶ *κεφαλὴν* τὸν ἄνθρωπον εἰώθαμεν ἀπὸ τῶν κυριωτάτων ὑποκορίζεσθαι», ἐξ οὗ δύναταί τις νὰ εἰκάσῃ ὅτι ἀντὶ τοῦ *καιριωτάτου* παρ' Εὐσταθίῳ ἔκειτο κατ' ἀρχὰς *κυριωτάτου*.

Τὸ ἐν τῷ Φαίδρῳ τοῦ Πλάτωνος σελ. 264, ά «ἢ οὐδὲν εἶπον, *Φαῖδρε, φίλε κεφαλή*» εἶνε προφανῶς μίμησις τοῦ Ὁμηρικοῦ (Ἰλ. Θ, 281):

Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν.

Παρ' Ἡροδότῳ φέρεται Γ', 29 «*ὦ κακαὶ κεφαλαί*, τοιοῦτοι θεοὶ γίνονται ἔναιμοί τε καὶ σαρκώδεες καὶ ἐπαΐοντες σιδηρίων;», παρὰ δὲ Δημοσθένει σελ. 278, 153 «ἵν' εἰδῆτε ἡλίκα πράγματα *ἡ μιαρὰ κεφαλὴ* ταράξασα αὕτη δίκην οὐκ ἔδωκε» καὶ σελ. 552, 117 «καὶ ταῦτ' ἔλεγεν *ἡ μιαρὰ καὶ ἀναιδὴς αὕτη κεφαλὴ* ἐξεληλυθὼς τῇ προτεραίᾳ παρ' Ἀριστοκράτους κτέ.». Πρβ. καὶ Κλεομήδη σελ. 113 «οὐ καὶ σὺ οὖν, *ὦ θρασυτάτη καὶ ἀναισχυντοτάτη κεφαλή*, ἐκ φιλοσοφίας ἀποφθαρεὶς οἰχήσῃ ἐπὶ Λεόντιον καὶ Φιλαινίδα κτέ.;». Καὶ τοῖς παιδίοις δὲ γνωστὸν ὑπάρχει τὸ ἐν τοῖς Αἰσωπείοις Μύθοις κείμενον «*ὦ κακὴ κεφαλή*, σὺ λέοντα ἐδίωκες, οὗ οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας;»

Τοῦ *ἱερὰ κεφαλή* παράδειγμα μνημονεύομεν τὸ ἐν Παλατ. Ἀνθολ. Ζ', 3:

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

Γράφει δὲ καὶ ὁ Κλεομήδης περὶ τοῦ Ἐπικούρου εἰρωνικῶς σελ. 103 «Ταῦτα γὰρ ἀκολουθεῖ τῇ δόξῃ *τῆς ἱερᾶς κεφαλῆς* τῆς μόνης τὴν ἀλήθειαν εὑρούσης».

Ἔχει δ' ὁμοίως τὸ *ὦ τιμία ΜΟΙ κεφαλή* καὶ τὸ *σεβασμία ΜΟΙ κεφαλή*, οὗ γίνεται χρῆσις ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Διονύσιον Παρεκβολαῖς σελ. 203, 26 Διδ. «Τοίνυν ἔχεις ἰδού, σοφωτάτη καὶ *σεβασμία μοι κεφαλή*, εἰ μὲν τό σοι ποθούμενον οὐκ ἔχω εἰπεῖν—τὸ χρέος δ' οὖν, ὅπερ αὐτὸς μὲν ἤδη πολλάκις ἀπῄτησας, ἡμεῖς δὲ ἄρτι καταβαλλόμεθα». Εὑρίσκεται δὲ καὶ *βασιλικωτάτη μοι κεφαλή* παρὰ τῷ γραμματικῷ Θεοδοσίῳ σελ. 105, 11 Γοιτλ.

Τὸν τονισμὸν *συγκόμιστος* βλέπει τις καὶ ἐν Τόμ. Ε', σελ. 889 «καὶ ὅτῳ *συγκόμιστον*» καὶ ἐν Τόμ. Ϛ', σελ. 484 «καὶ τρίτος ὁ μέσος τε καὶ *συγκόμιστος*» (Πρβ. καὶ σελ. 483, 1 καὶ 6)

καὶ ἐν Τόμ. ΙΑ', σελ. 120 «ποτὲ δ' ἄρτον *συγκόμιστον*» καὶ ἐν Τόμ. ΙΘ', σελ. 684 «ὃς καὶ *συγκόμιστος*». Ἀλλ' ἡ ὀρθὴ γραφὴ εἶνε *συγκομιστός*, ὡς ἀποδείκνυται ἐκ τοῦ θηλυκοῦ Τόμ. ΙΓ', σελ. 626 «ἢ καὶ τῆς *συγκομιστῆς* πευκίνης· ὀνομάζω δὲ *συγκομιστὴν* μὲν κτέ.». Πρβ. Τόμ. ΙΕ', σελ. 577 «ἢ καθαρὸν ἢ *συγκομιστόν*· ὅτι δὲ τὸν μὴ καθαρὸν ὀνομάζει *συγκομιστὸν* εὔδηλόν ἐστι κτέ.» καὶ Τόμ. ΙΘ', σελ. 142 «*Συγκομιστοὶ* ἄρτοι: ῥυπαροὶ κτέ.». Ἔτι δὲ Διοσκορ. Τόμ. Α', σελ. 234 «εὐτροφώτερός ἐστι τοῦ *συγκομιστοῦ*». Ὀρειβάσ. Τόμ. Α', σελ. 28, 10 «ὡς ἀπολείπεσθαι μὴ πολὺ τοῦ πυρίνου *συγκομιστοῦ*». σελ. 257, 7 «οἱ αὐτόπυροί τε καὶ *συγκομιστοὶ* προσαγορευόμενοι». Ἀθήν. σελ. 109, γ' «σεμιδαλίτην, χονδρίτην, *συγκομιστόν*». σελ. 115, δ' «εἶθ' οἱ συγκομιστοὶ ἐξ ἀσήστων ἀλεύρων γινόμενοι». Ἡσύχ. «*Συγκομιστὸς ἄρτος: παρὰ* Διοκλεῖ τῷ ἰατρῷ».

Παρατηρητέον δ' ἐν τέλει ὅτι τὸ εἰς τὸν Γαληνὸν κοινῶς ἀναφερόμενον σύγγραμμα *Περὶ τῆς τῶν ἐν νεφροῖς παθῶν διαγνώσεως καὶ θεραπείας* (Τόμ. ΙΘ', σελ. 643—698), ἐξ οὗ παρεθέμεθα τὴν σφαλμάτων γέμουσαν ῥῆσιν, εἶνε ὑποβολιμαῖον, ὡς ἐξ ἄλλων τε πολλῶν τρανῶς μηνύεται καὶ ἐκ τοῦ *ἥλιε τῆς ἐμῆς ψυχῆς* (σελ. 680) καὶ τοῦ *ταῦτα δὲ βραχέα οὐκ εἰς διδασκαλίαν ἀλλ' εἰς μικρὰν ὑπόμνησιν ὁ δοῦλός σου προσφέρω* (σελ. 697). Φέρεται δ' ἐν αὐτῷ καὶ τὸ ἑξῆς· «Καὶ ταῦτα δὲ διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἀποτυγχάνειν δεῖ καὶ (Γραπτέον ἴσως *κἂν*) ἡμᾶς τοὺς Χριστιανοὺς ἐπὶ τὰ καθ' ἡμᾶς μέγιστα καὶ κυρίως μυστηριώδη χωρεῖν» (σελ. 679)· ὅπερ σαφέστατα διδάσκει ὅτι ὁ συντάξας τὸ προκείμενον βιβλίον ἐπρέσβευε θρησκείαν, πρὸς ἣν ἀηδῶς ὁ Γαληνὸς διέκειτο γράφων «ἵνα μή τις εὐθὺς κατ' ἀρχὰς ὡς εἰς Μωϋσοῦ καὶ Χριστοῦ διατριβὴν ἀφιγμένος νόμων ἀναποδείκτων ἀκούῃ καὶ ταῦτα ἐν οἷς ἥκιστα χρή» καὶ «θᾶττον γὰρ ἄν τις τοὺς ἀπὸ Μωϋσοῦ καὶ Χριστοῦ μεταδιδάξειεν ἢ τοὺς ταῖς αἱρέσεσι προστετηκότας ἰατρούς τε καὶ φιλοσόφους» (Τόμ. Η', σελ. 579 καὶ σελ. 657). Πιθανὸν δ' ἡμῖν φαίνεται ὅτι τὸ *νόμων ἀναποδείκτων* εἶνε πλημμελὴς ἀνάγνωσις τοῦ *ΛόΓων ἀναποδείκτων*.

§ 11. *καίπερ πάντως—καὶ περὶ παντός.*

